Γυῖα, κυρίως ἐστὶν ἐπὶ τῶν ποδῶν. παρὰ τὸ ἐπὶ τῆς γύης ἱέναι, τουτέστι τῆς γῆς. τάττεται δὲ καὶ ἐπὶ τῶν χειρῶν.

Γλήνη, ἡ τῶν ὀφθαλμῶν κόρα. παρὰ τὸ δι' αὐτῶν τὸν νοῦν γαληνιᾶσθαι τῇ ποικιλίᾳ τῶν ὁρατῶν. ἢ ἀπὸ τοῦ γλαύσειν[20]). ὅ ἐστι λάμπειν.

Γλαυκός, παρὰ τὸ γλαύσσειν.

Γνάθος, παρὰ τὴν γνάψιν[21]) καὶ κλάσιν. χαλινοὶ δὲ ὅτι δι' αὐτῶν τὸ χαίνειν γίνεται[22]).

Γένυς, οἷον κέρυς[23]) τίς οὖσα, ὅτι κένος[24]) τὸ κατ' αὐτὸν μέρος ὀστέων. οἱ δὲ, ὅτι γεννᾷ ὀδόντας καὶ τρίχας.

Γένειον, τὸ μέσον καὶ ἐξέχον τῆς κάτω γένυος. ἀπὸ τοῦ δι' αὐτοῦ τὰ γένη διαστέλλεσθαι τῶν ἀῤῥένων καὶ τῶν θηλυκῶν, καὶ ἀτελῶν καὶ τελείων ἡλικιῶν. οὕτω Σωρανός.

Γεγωνεῖν, τὸ θέμα γνωῶ· μεταθέσει τοῦ ῡ γονῶ[25]), διπλασιασμὸς[26]) γεγωνώς[27]). οἱ γὰρ Ἴωνες ὡς ἀπὸ προπερισπωμένου[28]) προφέρονται, γεγωνηκότες λέγοντες, καὶ γεγωνέω[29]).

Γράστις[30]), παρὰ τὸ γράω[31]) ῥῆμα, τὸ ἐσθίω· ὁ μέλλων γράσω· γράσις, καὶ πλεονασμῷ τοῦ τ̄, γράστις.

Γλίχεσθαι, παρὰ τὸ λίαν ἔχεσθαι[32]).

Γρῖπος, παρὰ τὸ ἀγρεῖν, ὅ ἐστι παρακολουθεῖν τῇ ἄγρᾳ. οὕτως Ἡρωδιανὸς ἐν τῇ Ὀρθογραφίᾳ[33])· γρῖπος ἁλιευτικόν τι δύκτιον[34]), οἷον ἄγριπον. ἀγρεῖν δὲ, τὸ λαμβάνειν[35]).

Γείτων, παρὰ τὴν γῆν γεΐτων, καὶ γείτων[36]), ὁ ἐν τοῖς αὐτοῖς τόποις.

Γάδειρα, οἷον τῆς γῆς δειρά[37]).

Γαιήοχος, παρὰ τὸ γεννᾶν[38]).

Γῆρας, παρὰ τὸ εἰς γῆν ἐῤῥεῖν. διὰ τὸ ἐγγὺς εἶναι θανάτου. ἢ διὰ τὸ εἰς γῆν ὁρᾶν*).

---

16) εἰς τὸ πλῖον αὔξεται] Legendum est εἰς τὰ πλέον τὰ φυτὰ αὔξεται. Vide Etymol. M. p. 217, 9. LARCHER.

17) Γαστὴρ] Forsan legendum est Γαστρόχειρ. Sed glossa mihi videtur suo loco mota. Vide infra Γαστήρ. LARCHER.

18) τὸ ρυ.] Mutila vox incuria librarii. Legendum est cum Etymologico M. p. 222, 9. τὰ ῥυτὰ, τουτέστι τὰ τόξα, ἢ τὰ βέλη, vel potius τὸ ῥυτὸν, τουτέστι τὸ τόξον, vt Orion infra in voc. Γωρυτὸς habet. Sequens γω delendum est. LARCHER.

19) Vna glossa in duas diuisa est. Lege καὶ γεγονυῖα vel γεγαυῖα, γυνὴ δεκτικὴ τοῦ σπέρματος. LARCHER.

20) γλαύσειν] Lege γλαύσσειν. Nam est a praesenti γλαύσσω, splendeo. Hinc corrigendum Etymologicon M. p. 211, 19. vbi pro Γλαύσσειν rescribo Γλαύσσουσιν. LARCHER.

21) γνάψιν] Lege γνάμψιν. LARCHER.

22) χαλινοὶ δὲ ὅτι δι' αὐτῶν τὸ χαίνειν γίνεται] Fortasse cum Etymologico MS. Biblioth. Reg. legendum est: χαλινοὶ δὲ, οἷον χαινοί τινες ὄντες, ὅτι δι' αὐτῶν τὸ χαίνειν γίνεται ἡ ἔνθεσις τῶν εἰσφερομένων. LARCHER.

23) κέρυς] Cum Etymologico M. p. 205, 57. lege κένυς. LARCHER.

24) κένος] Legendum est κενὸν, quia μέρος est neutrius generis. LARCHER.

25) γονῶ] Scribendum est γωνῶ. Nam in Etymologico M. p. 203, 12. legitur: ἐν ὑπερθέσει, γωνῶ. LARCHER. Ita scribendum esse vidit etiam Bastius ad Gregor. de Dialectis p. 161. edit. Schaefer.

26) διπλασιασμὸς] Quum μεταθέσει praecedat, Bastius l. l. scribi iussit διπλασιασμῷ.

27) γεγωνώς] Idem vir doctus emendauit γεγωνῶ.

28) ἀπὸ προπερισπωμένου] Eodem Bastio auctore scribendum est ἀπὸ περισπωμένου.

29) γεγωνέω] Bastius l. l. videtur in Codice MS. legisse γεγωνεῖν. Saltem sic edidit.

30) Γράστις] Optime Etymologicon MS. Biblioth. Regiae: Γράστις· ἡ χλωρὰ κριθή. Hinc in Etymologico M. p. 217, 33. reponendum est Γράστις pro Γράσων; cui coniecturae fauet Henr. Stephanus in Indice Thesauri Linguae Gr. in v. Γράσος. LARCHER.

31) παρὰ τὸ γράω] Hoc verbum Cypriorum est. Hesychius: Γρα· φάγε. Κύπριοι. Hinc γραίνω, γαγγραίνω, γάγγραινα, id est, ἡ φάγουσα, ἐσθίουσα. Callimachus Fragm. CC. Καὶ μόνος αἰζηῶν ἔγρας κηδεμόνα. vbi vide Bentleium, et praecipue Ruhnkenium. LARCHER.

32) Vide Etymol. M. in Γλιχόμενος p. 213, 35. et Aristophanem in Γεωργοῖς Fragm. VII. Tom. III. p. 226. ex editione Brunckii. LARCHER.

33) Ἡρωδιανὸς ἐν τῇ Ὀρθογραφίᾳ] Eadem ad verbum reperiuntur in Etymologico MS. Bibliothecae Regiae. LARCHER.

34) δύκτιον] Lege transpositis literis, δίκτυον. LARCHER.

35) ἀγρεῖν δὲ, τὸ λαμβάνειν] Post haec verba Etymologicon MS. Biblioth. Reg. addit: οὕτω Θέων ἐν ὑπομνήματι τὸ (Lege τῷ) εἰς Θεόκριτον. LARCHER. Conf. Bekker. ad Etymol. M. p. 219, 28.

36) καὶ γείτων] nempe κατὰ συναίρεσιν, per contractionem. Vid. Etymol. M. p. 208, 26. LARCHER.

37) οἷον τῆς γῆς δειρά] Auctor Etymologici M. p. 199, 33. addit, Iulium Claudium in Phoeniciae historia dixisse, Archaleum, filium Phoenicis, hanc vrbem condidisse, et ex Phoenicum lingua nuncupasse, quod vero similius est. Deinde addit: Γάδον γὰρ παρ' αὐτοῖς, τὸ ἐκ μικρῶν ᾠκοδομημένον. Sed mihi persuadere nequeo, haec absoluta esse. Infra in Etymologico M. p. 220, 32. legitur: Γάλωνες, χρῶμα ἵππων τὸ ὀνοειδές. τὰ περιφράγματα Φοίνικες. Hinc lego: τὰ περιφράγματα Φοίνικες· γάδον γὰρ παρ' αὐτοῖς κ. τ. λ. LARCHER.

38) παρὰ τὸ γεννᾶν] Mira librarii oscitantia. Fortasse legendum, vt est in Etymologico M. p. 202, 3. παρὰ τὸ τὴν γαῖαν ἔχειν, terram continere. LARCHER.

*) Γῆρας κ. τ. λ.] Excerpta ex Orione p. 613, 26. glossam sic exhibent: Γῆρας, παρὰ τὸ γέρας, τὴν τιμήν· γῆρας γὰρ αἰδοῖμον ἄνδρα τίθησι. τινὲς δὲ παρὰ τὸ (εἰς) γῆν νεύειν, ἢ ὁρᾶν.

Digitized by Google

Γαλήνη, ἡ καθισταμένη θάλασσα παρὰ τὸ γάλα[39]. *οἱ δὲ παρὰ τὸ γελᾶν· γελάνη τὸ πρᾶον καὶ ἡδὺ ἔχουσα*[40].

Γέρανος, γήρευνός τις ἐστί· ἀπὸ τοῦ τὰ τῆς γῆς ἐρευνᾶν σπέρματα.

Γαῦρος, παρὰ τὸ γαίω τὸ γαυριῶ, ἢ παρὰ τὸ ἀπὸ γῆς αἴρεσθαι.

Γρυπός, γρυβόνες[41] *παρὰ τοῖς Αἰολεῦσι τὸ ἐπικαμπές, ἤτοι ῥυβόν. καὶ τροπῇ τοῦ β εἰς π, ῥύπος, πλεονασμῷ τοῦ γ γρυπός. οὕτως Ἡρωδιανὸς ἐν τοῖς Ἐλέγχοις.*

Γαγγαλίζεσθαι, παρὰ τὸ γελῶ γελίζω, τροπῇ τοῦ ε εἰς α, γαλίζω. διπλασιασμῷ, καὶ πλεονασμῷ τοῦ γ, γαγγαλίζω, τὸ εἰς γέλωτα ἄγειν[42]. *οὕτω Φιλόξενος ἐν τῷ περὶ Ἀναδιπλασιασμοῦ.*

Γαμψός, κάμψω καμψός, καὶ ἔκαμψε, καὶ ἔγναψε. ἔγναψες[43] *γὰρ ἅπαντας, Ὅμηρος. καὶ γαμψόνυχες ἀπὸ τοῦ καμψόνυχες*[44].

Γαλαθηνός, παρὰ τὸν θήσω μέλλοντα, δηλοῦντα τὸ θρέψαι[45], *ὡς τό, ἐπηετανὸν γάλα θῆσθαι*[46]· *τὸ ἐσθίειν καὶ τὸ τρέφεσθαι· καὶ θοίνη ἡ τροφή· ἐστὶν οὖν θήσω θηνός, ὡς δήσω δεινός, κλείω κλεινός*[47]. *καὶ σύνθετον γαλαθηνός.*

Γέρας, ἡ τιμή, παρὰ τὸ γῆρας τὸ τίμιον, τροπῇ τοῦ η εἰς ε.

Γομφίος, τροπῇ τοῦ α εἰς ο. γαμφίος γὰρ ἦν, καὶ παρὰ τὸ γνάπτεσθαι· κατὰ συγγένειαν τοῦ γ πρὸς τοῦ κ[48]. *ἐκ τοῦ κάμπτω. γαμφίος οὖν ἀπὸ τῶν καμβίων*[49] *σιαγόνων μετήνεκται.*

Γαμφολή[50], *παρὰ τὸ κνάμπτω καὶ γνάπτω, καὶ γαμφὴ ὄνομα ῥηματικόν, καὶ ἕτερον ἀπ᾽ αὐτοῦ παράγωγον γαμφηλή.*

Γάνος, παρὰ τὸ γανῶσαι τὸ λαμπρῦναι.

Γωρητός[51], *παρὰ τὸ γῶ τὸ λαμβάνω, ὅπερ εἴρηται ἀπὸ τῆς γῆς τῆς τὰ πάντα λαμβανούσης καὶ χωρούσης. γωρητὸς οὖν ὁ λαμβάνων καὶ δεχόμενος τὸ ῥυτόν, τουτέστι τὸ τόξον.*

Γαστήρ[52], *ἡ εἰς κύτος γεννηθεῖσα καὶ εἰς τὸ λαμβάνειν τι.*

Ἔντο[53], *ἕλετο ἐστί, καὶ κατὰ συγκοπὴν ἕλτο, καὶ τροπῇ τοῦ λ εἰς ν ἕντο· ὡς τὸ ἦλθεν· καὶ ποιοῦσιν οἱ Δωριεῖς ἦνθεν· καὶ πλεονασμῷ τοῦ γ, γέντο.*

Γωνία, παρὰ τὸ γόνυ, ὅπερ ἐπικάμπτεται, ἡ κεκλαμένη, πεποίηται φύσει κτητικῷ[54].

Γινώσκω, νοῶ, νοΐσκω, καὶ τροπῇ τοῦ ο εἰς ω, καὶ ἀποβολῇ τοῦ ι, νώσκω, καὶ κατὰ Ἠπειρώτας γνώσκω· καὶ πλεονασμῷ τοῦ γ, καὶ διπλασιασμῷ, γινώσκω[55].

Γνώμη, νοῶ νοήσω νοήμη, καὶ συναλοιφῇ ἤτοι κράσει νώμη, καὶ πλεονασμῷ τοῦ γ, γνώμη.

Γάμος, δάμος ἐστὶ τροπῇ τοῦ γ εἰς δ, ὁ δαμαστικὸς[56] *καὶ ὑποτακτικὸς τῶν θηλειῶν. ὅθεν καὶ τὰς παρθένους ἀδαμάστους λέγουσιν. οἱ δὲ παρὰ τὸ γεννᾶν.*

Γέρρα, δέρρα ἐστί, τροπῇ τοῦ δ εἰς γ, εἴτε τὰ σκηνώματα, ἐν οἷς τὰ ὤνια ἐπιπράσκετο[57], *εἴτε τὰ δερμάτινα αἰδοῖα*[58].

Γλαφόν[59], *παρὰ τὸ γλάφω τὸ κοιλαίνω καὶ διορύττω,*

---

39) *παρὰ τὸ γάλα*] Etymol. MS. Biblioth. Reg. hic addit verba *καθισταμένη θάλασσα*. LARCHER. Sic etiam Etymol. Gud. p. 118, 53.

40) *γελάνη τὸ πρᾶον καὶ ἡδὺ ἔχουσα*] Fortasse cum Etymologico MS. Biblioth. Regiae legendum: *γελάνη τις οὖσα, τὸ πρᾶον καὶ ἡδὺ ἔχουσα. τροπῇ τοῦ ε εἰς α, καὶ τοῦ α εἰς η.* LARCHER. Eodem fere modo Etymol. Gud. p. 118, 50. Sed desunt ibi verba *τοῦ ε εἰς α καί*, quae inserenda sunt.

41) *γρυβόνες*] Lego *γρυβόν ἐστι*. Nam *γρυβὸς* apud *Hesychium* est *γρυπός*. LARCHER.

42) *ἄγειν*] Scribo *ἄγω*. Nam *Orion* dixit *γαγγαλίζω* in indicatiuo praesentis. LARCHER. Verum iam supra vidimus, talem diligentiam in *Orione* non quaerendam esse. Quare nihil mutandum puto. Conf. infra not. 92.

43) Scribe vt est in *Homeri* Iliad. *Β*. 14. *ἐπέγναμψεν γὰρ ἅπαντας.* LARCHER.

44) *γαμψόνυχος ἀπὸ τοῦ καμψόνυχος*] Scribendum est *γαμψώνυχος ἀπὸ τοῦ καμψώνυχος*. Illa enim vox reperitur apud *Homer*. Iliad. *Π*. 428.

οἱ δ᾽ ὥστ᾽ αἰγυπιοὶ, γαμψώνυχες, ἀγκυλοχεῖλαι.

Sophocles Oedip. Tyr. 1198. de Sphinge:

κατὰ μὲν φθίσας τὰν γαμψώνυχα
παρθένον χρησμῳδόν.

LARCHER.

45) *θρέψαι*] Lege *θρέψω*. LARCHER. At vide quae paulo ante not. 42. monui.

46) Vid. *Homer*. Odyss. *Δ*. 89.

47) *δήσω δεινός, κλείω κλεινός*] Lege *δείσω δεινός, κλείσω κλεινός*, vt est in Etymologico M. p. 399, 1. LARCHER.

48) *πρὸς τοῦ κ*] Legendum est *πρὸς τὸ κ*. LARCHER.

49) *καμβίων*] Putem *καμπτῶν* reponendum. LARCHER.

50) *Γαμφολή*] Legendum est *Γαμφηλή*. LARCHER.

51) *Γωρητός*] Hoc loco et paulo post scribe *Γωρυτός*. Vid. supra in voc. *γυνή*, et infra in voc. *ἐγγυαλίξαι*. LARCHER.

52) *Γαστήρ, ἡ εἰς —— λαμβάνειν τι*] Per oscitantiam librarii post *Γαστήρ* nonnulla omissa sunt, sic supplenda: *παρὰ τὸ γῶ λαμβάνω. ἐκ τοῦ γαστὴρ γίνεται γάστρα, ἡ εἰς —— λαμβάνειν τι.* Deinde ponenda est glossa, quae supra in voc. *Γαστὴρ* legitur: *ὅτι γαστρίζει ἡμᾶς ἐπιχορηγοῦσα τὴν τροφήν.* Tota igitur glossa sic scribenda: *Γαστήρ, παρὰ τὸ γῶ λαμβάνω, ἐκ τοῦ γαστὴρ γίνεται γάστρα, ἡ εἰς κύτος γεννηθεῖσα καὶ εἰς τὸ λαμβάνειν τι· ὅτι γαστρίζει ἡμᾶς ἐπιχορηγοῦσα τὴν τροφήν.* LARCHER.

53) *Ἔντο*] Luce clara clarius est, legendum esse *Γέντο*. Vid. Etymol. M. p. 205, 7. et *Eustath*. ad *Homer*. Iliad. *Ι*. p. 756, 31. LARCHER.

54) *παρὰ τὸ γόνυ, ὅπερ ἐπικάμπτεται, ἡ κεκλαμένη, πεποίηται φύσει κτητικῷ*] Locus miro corruptus ope Etymologici M. p. 222, 14. sanandus est. Lego: *ἢ κεκλασμένῳ σχήματι πεποίηται φύσει. ἐκ τοῦ γόνυ, τὸ κτητικὸν γωνία.* Vel potius, duce Etymologico MS. Biblioth. Regiae: *παρὰ τὸ γόνυ, ὅπερ ἐπικάμπτει τε καὶ κεκλασμένῳ σχήματι φύσει πεποίηται. γίνεται τὸ κτητικὸν γωνία, κατ᾽ ἔκτασιν τοῦ ο εἰς ω.* LARCHER.

55) *κατὰ Ἠπειρώτας γνώσκω· καὶ πλεονασμῷ τοῦ γ, καὶ διπλασιασμῷ, γινώσκω*] Lego: *κατὰ Ἠπειρώτας γνώσκω, πλεονασμῷ τοῦ γ, καὶ διπλασιασμῷ γιγνώσκω, εἶτα κατὰ ἀφαίρεσιν τοῦ γ, γινώσκω.* Etymologicon MS. Biblioth. Regiae: *Γινώσκω· ἔστι ῥῆμα τοῦ νοήσω, ἐν συναλοιφῇ νώσω, ὡς ὀγδοήκοντα ὀγδώκοντα· τούτο ἐπενθέσει τοῦ κ, νώσκω, ὡς θρώσκω, θνήσκω· καὶ πλεονασμῷ τοῦ γ, γνώσκω, ὡς νόφος γνόφος, καὶ νοήμη νώμη καὶ γνώμη· κατὰ ἀναδιπλασιασμὸν γιγνώσκω· εἶτα κατὰ ἀφαίρεσιν τοῦ γ, γινώσκω.* Si locus esset pleonasmo, non constaret *διπλασιασμός*, *duplicatio*. Itaque ex Etymologico M. p. 210, 36. saltem legendum esset *διπλασιασμῷ, καὶ ἐκβολῇ τοῦ γ, γινώσκω.* LARCHER.

56) *ὁ δαμαστικὸς καὶ ὑποτακτικός*] *qui domat et tenet in imperio suo.* LARCHER.

57) *τὰ σκηνώματα, ἐν οἷς τὰ ὤνια ἐπιπράσκετο*] Sic nomine *γέῤῥα* vsus est *Demosthenes* de Corona p. 284, 24. edit. *Reisk*. *τούς ἐκ τῶν σκηνῶν τῶν κατὰ τὴν ἀγορὰν ἐξεῖργον, καὶ τὰ γέῤῥα ἐνεπίμπρασαν.* LARCHER.

58) *τὰ δερμάτινα αἰδοῖα*] Vno verbo *ὄλισβος* dicebatur. *Aristophanes* Lysistr. 109.

οὐκ εἶδον οὐδ᾽ ὄλισβον ὀκτωδάκτυλον,
ὃς ἦν ἂν ἡμῖν σκυτίνη ᾽πικουρία.

LARCHER.

59) *Γλαφόν*] Lego *Γλαφυρός*, vel *Γλάφυ*. *Hesiodus* Ἔργ. 533. dixit *καὶ γλάφυ πετρῆεν*. ad quem locum *Moschopulus* p. 120. b. edit. *Heins*. *δοκεῖ δή οὐκ ἀποκοπὴν ἔχειν τὸ γλάφυ, ἀλλ᾽ οὕτως ἐσχηματίσθαι ἀπὸ τοῦ γλάφω, ὡς τὸ δάκρυ ἀπὸ τοῦ δακρύω.* LARCHER.

Digitized by Google

ἐπὶ τοῦ κοίλου. ἐπὶ δὲ τοῦ ἡδέος, τὸ διορύττειν[60]) καὶ κινοῦν τὴν ἀκοὴν εἰς ἡδονήν. καταχρηστικῶς δὲ ἐπὶ ἄλλων.

Γραῦς, ῥεύσω ἐστὶ μέλλων ἀπὸ τοῦ ῥέω, καὶ πλεονασμῷ τοῦ γ, γρεύω, καὶ γραῦς τὸ διεῤῥυκὸς γύναιον[61]), τροπῇ τοῦ ε εἰς α.

Γύαλον, κυρίως τὸ κοῖλον τῆς χειρὸς, παρὰ τὸ γύω, ἀφ' οὗ γύον καὶ γυῖον. τὸ δὲ γύω, παράγωγον τοῦ γῶ, δηλοῦντος τὸ λαμβάνω. ἀφ' οὗ γῆ, ἡ πάντα λαμβάνουσα. γύον οὖν, καὶ πλεονασμῷ τοῦ αλ, γύαλον.

Γαυλός, γῶ γάζω γαλὸς, καὶ πλεονασμῷ τοῦ υ, γαυλός.

Γαγγεῖον[62]) γάλακτος δεκτικόν. καὶ οὐ πάντως δεῖ παρὰ τὸ γάλα αὐτὸ λαβεῖν. σημαίνει δὲ καὶ εἶδος πλοίου.

Γάγγαμος[63]), δίκτυον ἐστίν· ὡς γάζω, γάσω, γάμος, γάγγαμος καὶ γάγγαμον, τοῦ γ διπλασιασμῷ. ἀπὸ τοῦ λαμβάνειν τὰ ἀγρευόμενα.

Γρώνη, γώνη γρώνη· ἡ δεχομένη πέτρα σχοινία[64]).

Γυρῖνοι[65]), οἱ βάτραχοι· παρὰ τὸ γυρὸν, τὸ περιφερές.

Γνόφος, παρὰ τὸ δονεῖν τὰ νέφη[66]).

ΑΡΧΗ ΤΟΥ Δ.

Δαφοινός. μέλας[67]). Φοινὴν γὰρ τὸ μέλαν. Δράκων ἐπὶ νῶτα δαφοινός[68]). τὸ δα ἐπιτατικόν.

Δῶρον. δὰρ ἡ παλαιστή· παρὰ τὸ δαρεῖσθαι ἡμᾶς τῇ χειρί· ἀφ' ἧς μετρεῖται ἡ παλαιστή.

Δέπας. δέχος[69]) τι ἐστὶ, δι' οὗ δεχόμεθα τὴν πόσιν.

Δνοφερόν[70]). τὸ μέλαν. ἀπὸ τοῦ γνόφου καὶ δνόφου. γνόφος δὲ ὁ κενὸς φάους ἀήρ. κατὰ δὲ μετάθεσιν τοῦ δ εἰς γ, γνόφος.

Δαιμόνιος. ὁ ἐπιστημονικὸς, παρὰ τὸ δαῆναι.

Δοῦπος. ὁ δέος ἐμποιῶν ψόφου[71]), ἢ ὁ δέους ἔχων ὄπα.

Δειλός. ὁ δεδιὼς τὰς μυίας[72]). ἢ παρὰ τὸν δεῖσαι μέλλοντα. οὕτως Ἀριστόνικος[73]). δέος δεσαρός[74])· μεταθέσει τοῦ ρ εἰς λ, δεαλός· δειλὸς κράσει, ὡς ταχέας ταχεῖς.

Δινατή[75])· περιφερὴς, ἐοικυῖα ἀδίνῳ[76]), ὅ ἐστι τόρνῳ· δῖνος δὲ ὁ τόρνος. παρὰ τὸ δονεῖσθαι καὶ κελεῦσθαι[77]).

Δίφρος. δυόφορός τις ὤν[78]).

Δεύτατος. ὁ ἔσχατος, ἀπὸ τοῦ δεύεσθαι, καὶ ἐνδεῖν[79]).

Δίσκος. παρὰ τὸ δικεῖν καὶ ῥίπτειν, καὶ περιττεύει τὸ σ.

Δέμνια. ἐν οἷς δεδμήμεθα, καὶ κοιμώμεθα· οἷον δεδέμεθα· διὰ τὸ μηδὲν πράττειν, καὶ τὴν νύκτα δμήτειραν φησὶν Ὅμηρος[80])· εἰ μὴ Νὺξ δμήτειρα θεῶν ἐσάωσε καὶ ἀνδρῶν.

Δαρδάπτουσιν. ἀντὶ τοῦ λάβρως ἐσθίουσιν· παρὰ τὸ ζά μόριον, τροπῇ τοῦ ζ εἰς δ, δαδάπτουσι, καὶ πλεονασμῷ τοῦ ρ, δαρδάπτουσι[81]).

Δόρυ. δρύον ἂν εἴη· παρὰ τὴν δρῦν, οἷον δρύϊνον[82]).

Δεῖπνον. τὸ παρ' ἡμῖν ἄριστον. δεῖ πονεῖν[83]). ἄριστον

---

60) τὸ διορύττειν] Scribendum esse apparet τὸ διορύττον.

61) γρεύω, καὶ γραῦς τὸ διεῤῥυκὸς γύναιον] Lege cum Etymologico Biblioth. Regiae: γρεύσω, καὶ ἐξ αὐτοῦ γραῦς, καὶ γραῦς τὸ διεῤῥυηκὸς γύναιον. Vide etiam Etymol. M. p. 218, 27. LARCHER.

62) Γαγγεῖον] Lege ἀγγεῖον. Neque est initium nouae glossae. Nempe γαυλὸς est *vas ad lac recipiendum aptum.* LARCHER.

63) Γάγγαμος] Scribitur etiam γαγγαμών, quam vocem auctor Etymologici MS. Biblioth. Regiae reperiri ait in *Oppiani* Halieuticis. Vid. *Oppian.* Halieut. III, 81. LARCHER.

64) ἡ δεχομένη πέτρα σχοινία] Ratio huius significationis primo adspectu non percipitur. Sed deriuatur a γῶ, *capio.* Vid. Etymol. M. p. 219, 52 et 53. *Lycophron* vers. 20.

οἱ δ' οἷον γρώνης εὐγάληνα χερμάδος
ναῦται λίαζον.

quem versum laudat auctor Etymologici MS. Biblioth. Regiae, cum hac varia lectione, εὐγάληνος. LARCHER.

65) Γυρῖνοι] Legitur γύρινοι, προπαροξυτόνως, in Etymologico M. p. 221, 49. Sed apud *Aratum* in *Διοσημείοις* vers. 215. inuenitur προπερισπωμένως, vt apud *Orionem:* πατέρες βοόωσι γυρίνων. Saltem *Scholiastes* ibi, γυρῖνοι δὲ, inquit, λέγονται οἱ ἀδιάπλαστοι βάτραχοι, τουτέστι τὰ γεννήματα τῶν βατράχων. LARCHER.

66) παρὰ τὸ δονεῖν τὰ νέφη] Haec explicat auctor Etymologici M. p. 234, 31. quem adi, si lubet. Aliam Etymologiam vide supra in Γνόφος. LARCHER.

67) μέλας] Lege ὁ πάνυ μέλας. Nam δα est particula intensiua. Hinc Etymologicum M. in voce Ἀμφιγύβολα p. 128, 12. corrigendum est, et pro δάφοινος ὁ πάνυ μέγας legendum δαφοινὸς ὁ πάνυ μέλας. LARCHER. Pro sequente φοινὴν reponendum est vel φοινὸν vel φοινίον.

68) Δράκων ἐπὶ νῶτα δαφοινός] Sunt verba *Homeri* Iliad. *B.* 308. LARCHER.

69) δέχος] Legendum est δέχας, vt est in Etymologico M. p. 253, 46. Etymologicum MS. Biblioth. Regiae: Δέπας· οἱονεὶ δέχας, ἀπὸ τοῦ δέχεσθαι τὸν οἶνον· τροπῇ τοῦ χ εἰς π, καὶ μεταθέσει τοῦ τόνου. οἷον, πλησάμενος δ' οἴνοιο δέπας. (apud *Homer.* Iliad. *Δ.* 224.) LARCHER.

70) Δνοφερόν] Vide supra duobus locis Γνόφος. LARCHER.

71) ψόφου] Lege ψόφος, vt sit ὁ δέος ἐμποιῶν ψόφος. LARCHER.

72) τὰς μυίας] Hoc monstrum ope *Eustathii* ad Iliad. *Λ.* p. 855, 48. procurandum est. Lege τὰς ἴλας, vel potius εἴλας, *agmina.* Etymologicum MS. παρὰ τὸ φοβεῖσθαι τὰς ἴλας τῶν πολεμίων. LARCHER.

73) *Aristonicus*, Alexandrinus Grammaticus, de quo *Suidas:* ἔγραψε περὶ τῶν σημείων τῶν ἐν τῇ Θεογονίᾳ Ἡσιόδου· καὶ τῶν τῆς Ἰλιάδος καὶ Ὀδυσσείας ἀσυντάκτων ὀνομάτων βιβλία ς'. *Scripsit de notis in Theogonia Hesiodi. Item de nominibus in Iliade et Odyssea, quae a communi constructione recedunt, libros VI.* Confer ibi notam *Kusteri.* Hinc corrigenda sunt *Villoisoni* Anecdota Graeca T. I. p. 64. in quibus punctum positum post Ὀδυσσείας sensum turbat. LARCHER.

74) δεσαρός] Scribe δεαρός, vt sequentia euincunt. LARCHER.

75) Δινατή] Lege Δινωτή. LARCHER.

76) ἀδίνῳ] Corrige δίνῳ. Confer Etymolog. M. in Δινωτοῖσι p. 281, 12. LARCHER. Nimirum α repetitum est e praecedenti ἐοικυῖα.

77) παρὰ τὸ δονεῖσθαι καὶ κελεῦσθαι] Scribe παρὰ τὸ δινεῖσθαι καὶ κυκλοῦσθαι. Vid. Etymol. M. loco laudato. LARCHER.

78) δυόφορός τις ὤν] Cum Etymologico M. p. 253, 31. et cum Etymologico MS. Biblioth. Regiae corrige παρὰ τὸ δύο φέρειν, τὸν μαχόμενον καὶ τὸν ἡνίοχον. οἱονεὶ διφορός τις ὤν. LARCHER.

79) ἀπὸ τοῦ δεύεσθαι καὶ ἐνδεῖν] Etymol. M. p. 235, 23. παρὰ τὸ δεύω καὶ δεύομαι τὸ λείπομαι. LARCHER.

80) Ὅμηρος] Iliad. *Ξ.* 259. LARCHER.

81) δαρδάπτουσιν legitur in *Homeri* Iliad. *Λ.* 479. ad quem locum *Eustathius* p. 857, 33. vult verbum δαρδάπτειν esse παράγωγον τοῦ δάπτειν. LARCHER.

82) οἷον δρύϊνον] Rationem addit auctor Etymologici Magni p. 256, 29. οἱ γὰρ ἀρχαῖοι ἐκ δρυΐνων κατεσκεύαζον. LARCHER.

83) δεῖ πονεῖν] Desunt quaedam, ope Etymologici M. in Δεῖ-

Digitized by Google

δὲ ἔλεγον τὸ πρωϊνὸν βρῶμα. Ὅμηρος[84])· ἐντύνοντο ἄριστον ἅμ᾽ ἠοῖ κειαμένω πῦρ.

Δαλός. παρὰ τὸ δαίω τὸ καίω[85]). δαιλὸς καὶ δαλός. ὁ μέλλων καύσω· ὡς παρὰ τὸ αὔω, αὔσω, αὐλὸς, τὸ φωνητικὸν[86]) ὄργανον.

Διάκτορος. παρὰ το ἄγω ἄξ ἄκτωρ[87]).

Δέλεαρ. παρὰ τὸ δόλον, δόλεαρ[88]) ἐστίν· ἢ παρὰ τὸ ἑλεῖν κατὰ πλεονασμὸν τοῦ δ δέλεαρ· ἔλεαρ, δέλεαρ[89]).

Δημός. παρὰ τὸ καίεσθαι. δαιμὸς καὶ δαμὸς, καὶ τροπῇ τοῦ α εἰς η δημὸς, τὸ εὐχερῶς καιόμενον.

Δακτύλιος, ὁ φορούμενος. ἀπὸ τοῦ περὶ τὸν δάκτυλον ἰέναι ἐπὶ τῆς χειρός, οἷον δακτυλιός τις· ἐστὶν ἀπὸ τοῦ δι᾽ αὐτοῦ δράττεσθαι τινός. δακτύλιος ἐπὶ τῆς ἕδρας[90]). ἢ διὰ τὸ δακτυλίῳ[91]) ἐφικτὸς εἶναι. ἢ ἀπὸ τῆς στρογγυλότητος τοῦ σημαντῆρος, τουτέστι τῆς σφραγῖδος.

Δελφύς, ἡ γαστήρ. ὡς δὲ τινὲς, ἡ μήτρα. ὅτι ἀδελφοποιός ἐστί.

Διαίνει[92]). κυρίως τὸ ὑπὸ ὑετοῦ Διὸς βρέχεσθαι.

Δέρματα. κατὰ μετάθεσιν τοῦ τ εἰς δ, ὡσπερεὶ τέρματα τοῦ σώματος. ἔξωθεν γὰρ ἐπιβέβληται παντὶ τῷ συνεστηκότι σώματι. δέρχεσθαι[93]) γὰρ δηλοῖ, οἷον τὸ βλεπόμενον διέρχεσθαι.

Δάκρυον. δάκνον*) τι ἐστί. ἀπὸ τοῦ δάκνεσθαι δι᾽ αὐτῶν τὰ ὄμματα. ἢ ὅτι τὰ πολλὰ ἀπὸ τῆς δηκτικῆς λύπης γίνονται.

Δάκτυλοι. οἷον δράκτυλοι, ἀπὸ τοῦ δρᾶσαι· ἢ δέκτιλοι[94]) τινές εἰσιν, δεκτικοὶ ὄντες τῶν διδομένων· ἢ δείκτυλοι, ἀπὸ τοῦ δι᾽ αὐτῶν γίνεσθαι τὴν δεῖξιν.

Δεξιά. ἀπὸ τοῦ δέχεσθαι δι᾽ αὐτῆς τὰ διδόμενα· ἢ ἀπὸ τοῦ δι᾽ αὐτῆς τὰς πλείας[95]) διεξιέναι πράξεις.

Δραθεῖν. τὸ κοιμᾶσθαι. δρήθω, β ἀόριστον ἔδραθον, ἀπὸ τοῦ ἔδαρθον. ἐστὶ δὲ κατ᾽ ἐντίθεσιν[96]). δρῶ γὰρ τὸ ἐνεργῶ. οὗ παράγωγον δρήθω. οἱ γὰρ κοιμώμενοι οὐδὲν ἐνεργοῦσι.

Διφᾶν. παρὰ τὸ ἀφᾶν[97]), τὸ ψηλαφᾶν, οὗ συγκοπὴ διφᾶν.

Δεινός. ὁ δέους ποιητικός. δέος δεεινὸς, καὶ κατὰ μετάθεσιν τοῦ ε εἰς α δαεινὸς, καὶ ἀποβολῇ τοῦ δ γίνεται αἰνός[98]).

Δείλη. παρὰ τὸ τὴν ἕλην τοῦ ἡλίου. δεέλη ἐστὶ, καὶ δείλη[99]).

Δίκτυον. παρὰ τὸ βαλεῖν, ὅ ἐστι δίκειν[100]).

Δημήτηρ. τροπῇ τοῦ γ εἰς δ· οἷον γημήτηρ τις οὖσα· ἢ παρὰ τὸ δηιόω[1]) γῆν καὶ τέμνειν ἐν τῇ ἀρόσει.

Διώνη. ἡ Ἀφροδίτη. ἢ[2]) ἀπὸ τοῦ διὰ πάντων ἰέναι[3]).

Δελφίνιος, ὁ Ἀπόλλων. ὅτι Κασταλίῳ τῷ κριτῇ[4]) εἰς ἀποικίαν στελλομένῳ, ὁ Ἀπόλλων ὁμοιωθεὶς δελφῖνι προηγήσατο τῆς νεὼς ἕως τοῦ Κρισίου κόλπου[5]), καὶ ἐκεῖ κατοικήσας ὁ Κασταλίος, οὗ ὁ υἱὸς Δέλφις ἐπεκράτησε τῶν τόπων[6]), καὶ ἀπ᾽ αὐτοῦ Δελφοὺς ἐκα-

---

πνος p. 258, 38. restituenda. Lege μεθ᾽ ὃ δεῖ πονεῖν, vel potius cum Etymologico MS. Biblioth. Regiae, παρὰ τὸ δεῖ καὶ πονεῖν. δεῖπνον γὰρ λέγει, μεθ᾽ ὃ δεῖ πονεῖν. LARCHER.

84) Homeri versus Odyss. Π. 2. est ἐντύνοντ᾽ ἄριστον ἅμ᾽ ἠοῖ, κειαμένω πῦρ. In Florentina et Aldina editione, quae anni nota omissa prodiit legitur ἐντύνοντο. LARCHER.

85) παρὰ τὸ δαίω τὸ καίω] Vide Etymol. M. in Δαλός p. 223, 36. et in Αὐλός p. 154, 44. LARCHER.

86) φωνητικόν] Ita recte etiam in Etymol. M. p. 154, 43. sed perperam in Orionis Codice φονητικόν. LARCHER.

87) ἄκτωρ in Glossis ad Aeschyli Pers. vers. 555. exponitur βασιλεύς, στρατηγός, ἡγεμών. ἀπὸ τοῦ ἄγω. LARCHER.

88) δόλεαρ] Hinc corrigendum est Etymologicon M. p. 231, 48. vbi legitur δόλοαρ. Nam a δόλος est δόλεαρ, et τροπῇ τοῦ ο εἰς ε fit δέλεαρ. LARCHER.

89) ἢ παρὰ τὸ ἑλεῖν κατὰ πλεονασμὸν τοῦ δ δέλεαρ· ἔλεαρ, δέλεαρ] Corrige ἢ παρὰ τὸ ἑλεῖν ἔλεαρ, κατὰ πλεονασμὸν τοῦ δ, δέλεαρ. LARCHER.

90) δακτύλιος ἐπὶ τῆς ἕδρας] Hinc verbum nequam apud Comicum Equitt. 1381.

οὔκουν καταδακτυλικὸς σὺ τοῦ λαλητικοῦ;

ad quem locum Scholiastes: καταδακτυλικός· ἀντὶ τοῦ συνουσιαστικός. κατὰ τοῦ δακτυλίου τοῦ πρωκτοῦ. Confer Suidam, qui sua hausit e Scholiasta Aristophanis. LARCHER.

91) δακτυλίῳ] Legendum est δακτύλῳ, vt optime legitur in Etymologico MS. Bibliothecae Regiae. LARCHER.

92) Διαίνει] Ad exemplum aliorum locorum (Conf. paulo ante not. 42.) Larcherus etiam hoc loco reponere debebat Διαίνειν, quia βρέχεσθαι sequitur.

93) δέρχεσθαι] Est noua glossa, cuius deest initium, sic restituendum ex Etymologico M. p. 255, 20. Δέργματα· τὰ ὄμματα. δέρκεσθαι κ. τ. λ. LARCHER.

*) δάκνον] Scribe δάκνεον, vt in Excerptis p. 613, 34. legitur.

94) δέκτιλοι] Scribe δέκτυλοι cum Etymologico M. in voce Δάκτυλος p. 223, 18. LARCHER.

95) τὰς πλείας] Lege τὰς πλείονας. Vid. Etymol. M. in Δεξιά p. 232, 16. LARCHER. Posset etiam τὰς πλείστας legi.

96) κατ᾽ ἐντίθεσιν] Legendum est κατ᾽ ἀντίθεσιν. LARCHER. Mallem κατ᾽ ἀντίφρασιν. Vid. Etymol. M. p. 259, 1.

97) ἀφᾶν] Scribendum potius videtur ἁφᾶν. Conf. Etymol. M. p. 253, 19.

98) δέος δεεινὸς, καὶ κατὰ μετάθεσιν κ. τ. λ.] Legendum suspicor δέος δεεινὸς, καὶ κράσει δεινός. ὅθεν αἰνός. κατὰ μετάθεσιν τοῦ ε εἰς α δαεινός, καὶ ἀποβολῇ τοῦ δ γίνεται αἰνός. Vide Etymol. M. in Δεινός p. 238, 25. vbi pro δεινός reponendum est δεεινός, et in Αἰνός p. 33, 58. Etymologicon MS. Biblioth. Regiae addit: οἱ γὰρ Ἴωνες, ἡνίκα ἔχεσιν ποιήσωνται τοῦ συμφώνου, τότε καὶ τὸ παραλῆγον φωνῆεν τρέπουσιν εἰς α, οἷον δεινὸς αἰνός, μέχρις ἄχρις. LARCHER. Eadem habet Etymol. M. in Αἴνιγμα p. 33, 33.

99) παρὰ τὸ τὴν ἕλην τοῦ ἡλίου. δεέλη ἐστὶ, καὶ δείλη] Scribe cum Etymologico M. in Δείλη p. 237, 20 παρὰ τὸ ἐνδεῖν καὶ ἐλλείπειν τὴν ἕλην. δεέλη ἐστὶ, καὶ κατὰ κρᾶσιν δείλη. Ἕλη autem, vel εἵλη, est calor solis. LARCHER. Etiam Excerpta ex Orione p. 613, 38. habent παρὰ τὸ ἐνδεῖν τὴν ἕλην.

100) παρὰ τὸ βαλεῖν, ὅ ἐστι δίκειν] Ordine praepostero haec collocata sunt. Lege παρὰ τὸ δίκειν, ὅ ἐστι βάλλειν. LARCHER.

1) δηιόω idem est ac κόπτω. Etymol. M. in Δηώ p. 239, 9. Δηώ. ὅτι πολλὴν ἐδῄωσε γῆν, τουτέστι διέκοψε. LARCHER.

2) ἢ particula disiunctiua delenda est, vel, si retinendam putamus, deest aliquid, quod facile suppleri potest ex Etymol. M. p. 254, 41 LARCHER.

3) Sic Cicero de Natura Deorum III. 24. „Venus, quia venit ad omnia." Et II. 27. „Quae autem dea ad res omnes veniret, Venerem nostri nominauerunt." LARCHER.

4) τῷ κριτῇ] Legendum est τῷ Κρητὶ, viro Cretensi, vt in Etymologico M. p. 231, 18. habetur. LARCHER. Ruhnkenius Epist. Crit. I. p. 25 sq. totam Orionis MS. glossam afferens, dedit τῷ Κρητί.

5) ἕως τοῦ Κρισίου κόλπου] Haud dubie cum Etymologico M. p. 231, 20. legendum est ἕως τοῦ Κρισσαίου κόλπου, vsque ad Crissaeum sinum. LARCHER. Ruhnkenius l. l. habet Κρισσαίου.

6) ἐκεῖ κατοικήσας — τῶν τόπων] Hinc corrigendum et supplendum est Etymologicon M. p. 231, 20. vbi male legitur ἐκεῖ κατοικήσας, ἐκράτησε τὸν τόπον. LARCHER. Ruhnkenius l. l. exhibet τὸν τόπον.

Digitized by Google

λεσε τοὺς ἐνοικοῦντας, καὶ Δελφινίου Ἀπόλλωνος ἱερὸν ἐνιδρύσατο. τινὲς δέ φασιν, ὅτι ὁ δελφὶν εἰς τὴν ναῦν ἦλθε, καὶ κατὰ τοῦτον τὸν τρόπον[7]) ἐπήδησεν εἰς θάλασσαν[8]).

Δεύειν[9]). κυρίως τὸ ὑπὸ Διὸς βρέχεσθαι· ἔνθεν ὁ διερὸς ὑγρός.

Δικαιοσύνη. παρὰ τὸ διχάζειν τὸ ἄδικον τοῦ δικαίου. διχαιοσύνη τὶς οὖσα[10]). οὕτως Ἡρακλείδης.

Δρόσος. κατὰ παράληψιν[11]) τοῦ ῑ, ἡ ἀπὸ Διὸς σοουμένη, δίοσός τις οὖσα, καὶ πλεονασμῷ τοῦ[12]), καὶ συγκοπῇ τοῦ ῑ, δρόσος.

Δυάς. παρὰ τὸ συνδεδέσθαι ἄλλῳ ἀριθμῷ, τῷ ἑνί· τὸ γὰρ[13]) ἀπολελυμένον ἐστί. παρὰ τὸ ἕσιν καὶ ἄφεσιν.

Δυάζειν, διστάζειν· παρὰ τὸ ἐν δύο στάσεσιν εἶναι· ἢ παρὰ τὸ δεδέσθαι τὴν ψυχὴν, καὶ μὴ ἐς ἕτερον δύνασθαι τρέπεσθαι τὴν γνώμην.

Δεσπότης[14]), δεοποιητής τις ὢν, δέος ἐμποιῶν.

Δραπέτης. ὁ ἀποβλέπων εἰς τοὺς δεσπότας, παρὰ τὸ ῥῶ τὸ βλέπω. οὕτως Ἀπολλώνιος ἐν τῷ περὶ Ἐπιῤῥημάτων[15]).

Δέρτερον[16]). τὸ δέρμα, παρὰ τὸ δέρω, καὶ δέρεσθαι.

Δίκη. δίζω ῥῆμα, παρὰ τὸ δίζεσθαι[17]).

Διερός, παρὰ τὸ διαίνω διαρός· καὶ Ἰωνικῶς, μεταθέσει τοῦ ᾱ εἰς ῑ, διερός.

Διαμπερὲς, παρὰ τῷ περάσαντι δι' ὅλου[18]).

Ὠς. ἀγαθή[19]). ἀπὸ τοῦ δώσω μέλλοντος, ἀποβολῇ τοῦ ω̄, δώς. οὕτω Φιλόξενος.

Δᾴς, ἡ λαμπὰς, παρὰ τὸ δαίω, ὁ μέλλων δαίσω, ἀποβολῇ τοῦ ω̄ δαίς[20]), οὕτω καὶ δορκὰς[21]) ἀπὸ τοῦ δέρκω δορκάς· λάμπω λαμπάς· νίφω νιφάς.

Διάκονος. παρὰ τὸ κονεῖν, τὸ ἐνεργεῖν καὶ ἐπείγεσθαι.

Δύσκολος. ὁ δυσχερῶς τινὶ κολλώμενος καὶ συναπτόμενος· ὥσπερ ἐκ τοῦ ἐναντίου κόλαξ, ὁ συνάπτεσθαι σπουδάζων καὶ κολλᾶσθαι[22]).

Δήνεα. παρὰ τὸ δαίω τὸ μανθάνω, ὁ μέλλων τὸ[23]) δαίσω, καὶ δαίμων ὁ πάντα εἰδώς· ὅπερ ἀποβολῇ τοῦ δ̄ παρ' Ὁμήρῳ[24]) αἵμονα θήρης. δαίω οὖν καὶ δαίνεα καὶ δήνεα. δεῖν[25]). συναλοιφὴ τοῦ δέον δεῖν, ὡς πλέον πλεῖν.

Δοίδυξ. ὁ καὶ ἀλετρίβανος[26]). ῥῆμα ἐστὶ δαδύσσω· δαίω γὰρ τὸ μερίζω καὶ κόπτω. ὅθεν καὶ δαιτρὸς[27]) ὁ μάγειρος· οὗ ὁ μέλλων δαδύξω, καὶ ῥηματικὸν ὄνομα κατ' ἀποβολὴν τοῦ ω̄, δάδυξ, τροπῇ τοῦ ᾱ εἰς ō, δό-

---

7) τρόπον) Scribe *τόπον* cum Etymologici M. auctore p. 231, 24. LARCHER. *τόπον* et deinde *εἰς τὴν θάλασσαν* habet *Ruhnken.* l. l.

8) Hanc fabulam alio modo refert *Seruius* ad *Virgilii* Aeneid. III. 332. quem vide. Propius ad Etymologicum accedit, quod idem *Seruius* ibidem e *Cornificio Longo* affert: „Inuenitur tamen apud *Cornificium Longum*, Iapydem et Icadium profectos a Creta in diuersas regiones venisse: Iapydem ad Italiam, „Icadium vero duce Delphino ad montem Parnassum, et a duce „Delphos cognominasse, et in memoriam gentis, ex qua profectus erat, subiacentes campos Crisaeos vel Cretaeos appellasse, et „aras constituisse." Figmentum illud de mutata Apollinis forma refutauit *Plutarchus* de Solertia Animalium cap. 36. T. II. Opp. p. 984. A. *ὃν δὲ αὐτὸς ἑαυτῷ τόπον ἐξαίρετον ὁ θεὸς πεποίηται, Κρητῶν ἀπογόνους οἰκοῦντας ἡγεμόνι δελφῖνι χρησαμένων· οὐ γὰρ ὁ θεὸς* (Articulum recte addidit *Wyttenbachius.* St.) *προσνηχετο τοῦ στόλου μεταβαλὼν εἶδος, ὡς οἱ μυθογράφοι λέγουσιν, ἀλλὰ δελφῖνα πέμψας τοῖς ἀνδράσιν ἰθύνοντα τὸν πλοῦν κατήγαγεν εἰς Κίῤῥαν.* quem locum sic constituendum puto: *ὃν δ' αὐτὸς ἑαυτῷ τόπον ἐξαίρετον ὁ θεὸς πεποίηται, Δελφοὺς καὶ τοὺς ἐνοικοῦντας ἐκάλεσε Κασταλίους, Κρητῶν ἡγεμόνι κ. τ. λ.* LARCHER.

9) *Δεύειν*] Etymologicon MS. Biblioth. Reg. addit: *ἀπὸ τοῦ Ζεὺς Διὸς δεύω, ἐξ οὗ καὶ διαίνω.* LARCHER.

10) *παρὰ τὸ διχάζειν*] Idem Etymologicon addit *καὶ διαχωρίζειν*, et deinde rectius dat: *οἱονεὶ διχαιοσύνη, ἡ διαχωρίζουσα ἡμᾶς ἐκ τῆς ἀδικίας.* LARCHER.

11) *κατὰ παράληψιν*] Lege, vt in Etymologico M. p. 260, 52. est, *κατὰ παράλειψιν.* LARCHER.

12) *πλεονασμῷ τοῦ*] Scribe *πλεονασμῷ τοῦ ῥ*, vt diserte legitur in Etymologico M. p. 260, 53. LARCHER.

13) *τὸ γὰρ ἀπολελυμένον ἐστί*] Legendum est, vt in Etymologico MS Biblioth. Regiae reperitur, *τὸ γὰρ ἓν ἀπολελυμένον ἐστί.* LARCHER.

14) *Δεσπότης —— ἐμποιῶν*] Haec continua serie in Codice iuncta erant cum praecedenti glossa. LARCHER.

15) *Ἀπολλώνιος ἐν τῷ περὶ Ἐπιῤῥημάτων*] In *Bekkeri* Anecdotorum Graecorum Volumine II. vbi hoc opusculum primum editum est, p. 549, 22. haec leguntur: *τὸ δρῶ σημαίνει καὶ τὸ ὁρῶ, ἀφ' οὗ καὶ τὸ δρωπάζειν, καὶ τὸ δραπέτης ὁ ἐπιβλέπων τοὺς δεσπότας.* Quare etiam apud *Orionem* legendum est *παρὰ τὸ δρῶ τὸ βλέπω.* De hac verbi *δρῶ* notione consentit Etymol. M. p. 432, 4.

16) *Δέρτερον*] Scribendum est *Δέρτρον.* LARCHER.

17) *παρὰ τὸ δίζεσθαι*] Etymologicum MS. Biblioth. Regiae addit: *ὅτι ἀμφίβολον αὐτῆς τὸ πέρας.* LARCHER.

18) *παρὰ τῷ περάσαντι δι' ὅλου*] Lege diuisis vocibus *παρὰ τὸ πέρας, ἀντὶ δι' ὅλου.* Idem Etymologicum MS. habet *παρὰ τὸ πέρας· ἀντὶ τοῦ δι' ὅλου.* LARCHER.

19) *Ὠς. ἀγαθή*] Ita in Codice legitur corrupte. Procul dubio legendum est *Δὼς ἀγαθή*, et est pars versus 356. *Ἔργων καὶ Ἡμερῶν Hesiodi*, qui in editione *Brunckii* est versus 326. Praeterea aliquid incuria librarii est omissum. Sic enim legendum existimo cum Etymologico MS Biblioth. Regiae: *Δώς. ἀπὸ τοῦ δώσω μέλλοντος, ἀποβολῇ τοῦ ω̄ δώς. . . . Δὼς ἀγαθή, ἅρπαξ δὲ κακή, θανάτοιο δότειρα.* LARCHER.

20) *δαίς*] Addendum erat, *καὶ δᾷς κατὰ συναίρεσιν.* Vide Etymologicon M. in *Δᾷδες* p. 221, 29. LARCHER.

21) *δορκὰς ἀπὸ τοῦ δέρκω δορκάς*] Alterutrum *δορκὰς* delendum censeo. Et optime quidem prius deleueris.

22) Etymologicum MS. Biblioth. Reg. ita locum exhibet: *Δύσκολος, οἱονεὶ δύσκολλός τις, ὁ δυσκόλως καὶ δυσχερῶς τινὶ κολλώμενος καὶ συναπτόμενος· ὥσπερ ἐκ τοῦ ἐναντίου κόλαξ, κόλλαξ τις ὤν, καὶ συνάπτεσθαι σπουδάζων.* Sequens nomen apud *Orionem*, quod nouae glossae initium est, *Δήνεια*, scribi debet *Δήνεα.* LARCHER.

23) *τὸ δαίσω*] Istud *τὸ* delendum est.

24) *παρ' Ὁμήρῳ*] Locus est Iliad. *Ε.* 49. Homerus, optimus sui interpres, versu abhinc secundo explicat per *ἐσθλὸν θηρητῆρα.* LARCHER.

25) *δεῖν*] Scribendum *Δεῖν*, et est initium nouae glossae, quae partim ex Etymologico M. vulgato p. 237, 13. partim ex Etymologico MS. Biblioth. Reg. sic est refingenda: *Δεῖν. συναλοιφῇ τοῦ ε̄ καὶ ō εἰς ει δίφθογγον, δέον δεῖν, ὡς πλέον πλεῖν. Πλεῖν* autem Attice dicitur pro *πλέον.* Quam in rem Etymol. M. p. 237, 14. laudat haec verba: *πλεῖν σταδίου λαλίστερα*, quae sic explicat: *πλέον σταδίου φλυαρώτερα.* Sunt verba Herculis in Ranis *Aristophanis* vers. 91. sic legenda:

Εὐριπίδου πλεῖν ἢ σταδίῳ λαλίστερα.

LARCHER.

26) *ἀλετρίβανος*] Hinc corrigendum est Etymologicon M. p. 261, 8. in quo male legitur *ἀλωτρίβανος* in editione prima, sicut et in Sylburgiana. *Δοίδυξ* idem est quod *ἀλετρίβανος*, nempe *pistillum mortarii.* Nam quod *ἀλετρίβανον* vocat *Aristophanes* in Pace vers. 259. 265. 269. 282. id nominat *δοίδυκα* vers. 288 et 295. LARCHER.

27) *δαιτρὸς* reperitur apud *Homerum* Odyss. *Α.* 141. et alibi. LARCHER.

Digitized by Google

δυξ, καὶ δι᾽ εὐφωνίαν προσῆλθε τὸ Γ, δοίδυξ, ὁ ταρακτικὸς ὤν[28]).

Δύστηνος. παρὰ τὸ στένειν, τροπῇ τοῦ ε εἰς η.

Δάπτειν. τὸ μεθ᾽ ὁρμῆς ἐσθίειν. ἢ παρὰ τὸ δα ἐπιτατικὸν μόριον, καὶ διπλασιασμῷ τοῦ ρ, δαρδάπτειν, τὸ σφόδρα ἅπτεσθαι τοῦ ἐσθιομένου.

Δοῦλος. ὁ κακοπαθῶν ἐν τῷ δουλεύειν[29]).

Δαιταλεύς. δαὶς δαιτὸς δαιτεύς. καὶ μέλανος μελανεὺς λέοντος λεοντεύς. καὶ πλεονασμῷ τῆς αλ, δαιτεὺς δαιταλεύς. καὶ Δαιταλεῖς, δρᾶμα Ἀριστοφάνους. Ἐπειδὴ ἐν ἱερῷ Ἡρακλέους δειπνοῦντες καὶ ἀναστάντες, χοροὶ ἐγένοντο[30]).

Δαπάνη. παρὰ τὸ δάπτω. ἔγκειται τὸ δα ἐπιτατικόν[31]).

Δάκνω. παρὰ τὸ καίνω, ἐν συγκοπῇ κνῶ, καὶ ἐν συνθέσει δάκνω· τὸ σφόδρα καίνω. δύναται καὶ παρὰ τὸ κνῶ.

Δέχνυμαι. δέχω ἐστὶ ῥῆμα, οὗ παθητικὸν δέχομαι. καὶ τοῦ δέχω παράγωγον δεχύω, καὶ κατὰ Δωριέας δεχνύω. ὡς πλήθω πληθύνω· οὕτω δέχω δεχύω δεχύνω· καὶ μεταθέσει τοῦ ν, δέχνω[32])· ἀφ᾽ οὗ δέχνυμι καὶ δέχνυμαι.

Δέσποινα. παρὰ τὸ δεσπόζω δεσπόζαινα, καὶ συγκοπῇ τοῦ ζα, δέσποινα. οὕτως Ἡρακλείδης ὁ Ποντικός.

Διαῤῥήδην. ἀπὸ τοῦ ῥῶ δηλοῦντος τὸ λέγω. οὗ ὁ μέλλων ῥήσω. ἔνθεν ῥῆσις, καὶ ῥήτωρ, καὶ ἐπίῤῥημα ῥήδην, ἀπὸ τοῦ ῥήσω[33]), καὶ σύνθετον διαῤῥήδην.

Δῖος. τὸ ἐπίθετον κτητικῷ τύπῳ, ἀπὸ τῆς Διὸς γενικῆς δίϊος ἐστὶ, καὶ συναλοιφῇ δῖος. διὸ καὶ μακρὸν τὸ ι. οὕτως Ἡρωδιανός.

Διάκτορος. διάτορός τις ὤν[34]).

Δόξα. ῥῆμα ἐστὶ περισπώμενον καὶ βαρύτονον, δοκῶ καὶ δόκω. ἔνθεν τὸ ἐκ δόκω βαρυτόνου ὁ μέλλων[35]) δόξω, ῥηματικὸν δόξα· ὡς ἄγω, ἄξω ἄξα καὶ ἅμαξα.

Δεῖος[36]). παρὰ τὸ δείω δέος, νείφω νέφος. λέγεται γὰρ καὶ δείδω δίω. ἔνθα β᾽ ἀόριστος. περὶ γὰρ δίε νηυσὶν Ἀχαιῶν[37]).

Δόμος. δέμω δόμος, τρέμω τρόμος.

Δεσμός. δέω δέσω, δέμος, καὶ πλεονασμῷ τοῦ σ, δεσμός.

Δῆμος. ὁ συνδεδημένος ὄχλος. δέω δέσω δέμος καὶ δῆμος. τοιγαροῦν ἐπὶ τοῦ διεσκεδασμένου φησὶν[38]), λῦτο δ᾽ ἀγών. ὡς μένω μένις καὶ μῆνις, ἡ ἐμμένουσα ὀργή.

Δῆρις. παρὰ τὸ δαίω τὸ κόπτω καὶ σφάζω, πλεονασμῷ τοῦ ρ. καὶ δήϊος ὁ πολέμιος. παρὰ τὸ δαίω. ὅς οὐ . . . φήσαιτο[39]) τοῦ δαίειν καὶ κόπτειν. καὶ δαῒς ἡ μάχη βαρυτόνως. μεταθέσει τοῦ α εἰς η, δηῒς, καὶ πλεονασμῷ τοῦ ρ, δῆρις.

Δαύω, τὸ κοιμῶμαι. ἐκ τοῦ ἄδω[40]) ἐστὶ, καὶ ἐν ὑπερθέσει τοῦ δ, δεύω, καὶ τροπῇ τοῦ ε εἰς α, δαύω· ἵνα μὴ τὸ δεύω τούτου[41]) ἐπὶ τὸ χρήζω συμπέσῃ.

Δῖος[42]), ὁ ἔνδοξος. ἀπὸ τοῦ Ζεὺς Διὸς, δίϊος ἐγένετο, καὶ κράσει τῶν δύο ιι εἰς ι μακρὸν, ὡς τὸ ὄφιϊ καὶ ὄφι, δῖος γέγονε. διὸ καὶ προπερισπᾶται. ὡς τὸ Χῖος ἀνὴρ[43]), ὁ ἀπὸ τῆς Χίου. ἡ Χίος γὰρ ἡ νῆσος, βραχὺ ἔχει τὸ χι. καὶ ἐξ αὐτῆς γέγονεν ἀνὴρ Χίϊος· ὡς ἀπὸ τῆς Ῥόδου Ῥόδιος· καὶ κράσει τῶν δύο ιι εἰς ι μακρὸν γέγονε Χῖος ἀνὴρ, τουτέστι ὁ Χιώτης. διὸ καὶ προπερισπᾶται τὸ Χῖος ἀνήρ.

---

28) *ὁ ταρακτικὸς ὤν*] Haec verba alludunt ad versum 265. in *Aristophanis* Pace:

εἴπερ γὰρ ἥξει γε τὸν ἀλετρίβανον φέρων,
τούτῳ ταράξει τὰς πόλεις καθήμενος.

quippe si pistillum ferens venerit, isto contundet vrbes otiose. Larcher.

29) *Δοῦλος· ὁ κακοπαθῶν ἐν τῷ δουλεύειν*] Deest aliquid. Etymologicum MS. Biblioth. Regiae: *Δοῦλος· παρὰ τὸ δέω τὸ δεσμεύω. ἢ παρὰ τὸ δύη, ὃ σημαίνει τὴν κακοπάθειαν, δυηλός τις ὤν, συγκοπῇ καὶ κατὰ πλεονασμὸν τοῦ ο, δοῦλος, ὁ κακοπαθῶν ἐν τῷ δουλεύειν.* Si enim δοῦλος est a verbo δέω, fit δέολος, et contracte δοῦλος. Larcher.

30) Vid. *Brunck.* ad *Aristoph.* Tom. III. p. 166. Larcher.

31) *ἔγκειται τὸ δα ἐπιτατικόν*] Melius Etymologicum MS. Biblioth. Reg. *Δαπάνη· παρὰ τὸ δάπτω τὸ ἐσθίω γίνεται δάπτη, ἀποβολῇ τοῦ τ καὶ πλεονασμῷ τοῦ α καὶ τοῦ ν, δαπάνη.* Larcher.

32 *μεταθέσει τοῦ ν, δέχνω*] Lege δεχνύω pro δέχνω. Etymol. M. p. 255, 49. ἐπενθέσει τοῦ ν, δεχνύω. Larcher. Paulo ante, pro ὡς πλήθω πληθύνω, legendum iudico ὡς πλήθω πληθύω πληθύνω, vt est in *Zonarae* Lexico p. 492.

33) *ἀπὸ τοῦ ῥήσω*] Haec sunt delenda. Sturz.

34) *Διάκτορος. διάτορός τις ὤν*] Etymol. M. p. 263. 16. ἐκ τοῦ τορῶ τὸ σαφηνίζω· ἀφ᾽ οὗ Ἀριστοφάνης (in Pace vers. 581.), *Εἰ μὴ τετορήσω ταῦτα καὶ λακήσομαι.* Etymologicum MS. Biblioth. Regiae: *Διάκτωρ· παρὰ τὸ ἄγω ἄκτωρ, ὁ ἄγων τὰς ἀγγελίας, ὁ τῶν θεῶν ἄγγελος. μετάγεται ἡ γενικὴ εἰς εὐθεῖαν.* Quae apud *Orionem* praecedit glossa, *Δῖος· τὸ ἐπίθετον κ. τ. λ.* eam ad verbum reperies in Etymologico MS. Bibliothecae Regiae. Larcher.

35) *ἔνθεν τὸ ἐκ δόκω βαρυτόνου ὁ μέλλων*] Legendum fortassis est *ἔνθεν ἐκ τοῦ δόκω βαρυτόνου ὁ μέλλων.* Larcher.

36) *Δεῖος*] Apud *Homerum* bis reperitur *χλωρὸς ὑπαὶ δείους*, Iliad. *K.* 376. et *O.* 4. Larcher.

37) *περὶ γὰρ δίε νηυσὶν Ἀχαιῶν*] Sunt verba *Homeri* Iliad. *I.* 433. Larcher.

38) *φησὶν*] nempe *Homerus*, cuius locus est Iliad. *Ω.* 1.

λῦτο δ᾽ ἀγών, λαοὶ δὲ θοὰς ἐπὶ νῆας ἕκαστοι
ἐσκίδναντ᾽ ἰέναι.

Orion igitur hunc locum tantummodo ad sensum laudauit. Larcher.

39) *ὅς οὐ . . . φήσαιτο*] Fortasse legendum est ὅς οὐ ἀφειδήσαιτο. Larcher. Haec coniectura *Larchero* est indigna. Nam non modo οὐ ante vocalem ferri non potest, sed etiam ἀφειδεῖν dubito an in Medio vnquam ponatur. Praeterea οὐκ ἀφειδεῖν pro οὐ φείδεσθαι non dicitur. Mihi persuasum est, legendum esse ὅς οὐκ ἂν φείσαιτο.

40) *ἐκ τοῦ ἄδω*] Procul dubio scribendum est *ἐκ τοῦ εὔδω.* Hoc enim, transpositione literae δ, fit δεύω. Larcher.

41) *τούτου*] Legi debet τοῦτο. Sed mallem etiam ἐπὶ τὸ δεύω τὸ χρήζω, pro ἐπὶ τὸ χρήζω.

42) *Δῖος*] Confer *Δῖος* paulo ante. Larcher.

43) *Χῖος ἀνὴρ, ὁ ἀπὸ τῆς Χίου κ. τ. λ.*] *Χίος* est insulae nomen. *Χῖος* gentile est, et contractum ex *Χίϊος*, ideoque syllabam priorem producit. *Aratus* Phaenom. vers. 638 — 640.

Χίῳ ὅτε θῆρα ἰσπάντα
καρτερὸς Ὠρίων στιβαρῇ ἐπέκοπτε κορύνῃ,
θήρης ἀρνύμενος, Χίῳ χάριν Οἰνοπίωνι.

In primo versu *Χίῳ* in penultima corripitur, in tertio eadem producitur, propter rationem supra allatam. Larcher. In tertio versu sane *Χίῳ* legitur in editione Oxoniensi, qua *Larcherus* usus est, p. 80. Sed *Buhlius*, quanquam dubitanter, edidit *κείνῳ*.

Digitized by Google

ΑΡΧΗ ΤΟΥ Ε.

Ἐέλδω[44]. παρὰ τὸ ἑλεῖν πρὸς αὑτὸν καὶ ἕλκειν.

Ἐγγυαλίξαι. κυρίως τὸ εἰς κοῖλον τῆς χειρὸς δοῦναι· ἐγγύαλον γὰρ τὸ κοῖλον· ὅ ἐστι ἐγχειρίσαι. γυῖα γὰρ οἱ πόδες καὶ αἱ χεῖρες. κυρίως ἐπὶ τῶν χειρῶν. παρὰ τὸ γῶ ῥῆμα, τὸ δηλοῦν τὸ χωρῶ, ἢ δέχομαι καὶ λαμβάνω. ὅθεν καὶ γορυτὸς[45], ὁ δεχόμενος τὸ ῥυτὸν, τουτέστι τὸ τόξον.

Ἐπασσώτερος[46]. παρὰ τὸ ἄσσον.

Εὐνή. παρὰ τὸ εὖ νενῆσθαι, ὅ ἐστι σεσωρεῦσθαι ταῖς στρωμναῖς.

Ἐπίῤῥοθος. ὁ ἐπιῤῥωννύων καὶ ἐπικελεύων.

Ἐπίσατρα[47]. ἀπὸ τοῦ ἐπισοεῖσθαι[48] ἢ ἕπεσθαι καὶ ἐν τῇ γῇ ὁρμᾶν.

Ἐμμαπέως. κατὰ μετάθεσιν καὶ πλεονασμὸν τοῦ μ̄, ἀμέπεως ἅμα τῷ λόγῳ.

Ἐρεπόμενοι[49]. κυρίως ἀπὸ τῶν ἀλόγων[50]. ἀπὸ τοῦ ἐκ τῆς ἔρας, ὅ ἐστι τῆς γῆς, ἀναλαμβάνειν τὴν τροφήν.

Ἐνιαυτός. παρὰ τὸ ἐν αὐτῷ διειληφέναι πάντας τοὺς καρπούς, καὶ τὰς τροπάς[51].

Ἐρεχθεύς, ὁ καὶ Ἐριχθόνιος[52]. ἀπὸ τοῦ ἐσπάρθαι[53] εἰς τὴν ἔραν. ἀπὸ τῆς ὀρέξεως τοῦ Ἡφαίστου.

Ἔτησιν. οἷον ἔθησιν ἀντὶ τοῦ ἐθᾶσιν[54].

Ἑρμῶνες[55]. οἱ κλινόποδες, παρὰ τὸ ἐνειρῆναι αὐτοῖς τὰ ἐνήματα[56]. ἢ παρὰ τὸ ἐγγεγλύφθαι ἁρμὰς[57] τινὰς αὐτοῖς. ὕπνου γὰρ δοτὴρ ὁ Ἑρμῆς. ἢ παρὰ τὸ ἕρμα, καὶ στήριγμα εἶναι. τοῖς γὰρ ποσὶ στηρίζεται ἡ κλίνη.

Εἴρεος[58]. παρὰ τὸ ἔῤῥειν καὶ φθείρεσθαι· πλεονασμῷ τοῦ ρ̄ καὶ τοῦ ε̄. ἐῤῥὼς, ἐῤῥός, ἔρρος καὶ εἴρεος[59]. εἴρεον εἰσάγουσι. Ὅμηρος οὕτως.

Ἐξαισία[60]. ἡ πρεσβεία. παρὰ τὸ ἵημι, ὅ ἐστι τὸ πέμπω.

Ἐρημνή[61]. συγκοπῇ τοῦ ε̄ ἐρεβεννή. ἢ παρὰ τὸ ἔρεβος.

Εὐλαί. σκώληκες, παρὰ τὴν εἴλησιν.

Ἔ εροι. παρὰ τὴν ἔραν τὴν γῆν.

Ἐδρύφθη, ἐξέσθη. ἀπὸ τῆς λεπιζομένης δρυός.

Εὔληρα[62]. κατὰ κοινωνίαν τοῦ ῡ πρὸς τὸ ῑ. οἷον εἴληρα· ἀπὸ τῆς εἰλήσεως τῆς περὶ τὰ ζῶα.

Ἔνδινα. τὰ ἔντερα. Ὅμηρος φησί[63]· ψαύει δ' ἐνδίνων. ὁ δὲ Ἀρίσταρχος ἐτυμολογεῖ ἔνιά τινα ὄντα τὰ ἐντὸς τῶν ἰνῶν, ἢ ἁπλῶς τῶν μελῶν. καὶ παρὰ τὸ ἐντὸς εἶναι τῶν ὅπλων[64]. οὕτως εὗρον ἐν Ὑπομνήματι τῆς Ἰλιάδος.

Ἔντεα, τὰ ὅπλα. παρὰ τὸ ἐντὸς περιλαμβάνειν τὸ σῶμα. οἷον σκεπαστήριά τινα ὄντα.

Ἕως. ἐτυμολογεῖται Ἀττικῶς ἀντὶ τοῦ ἠῶς διὰ τοῦ ε̄.

---

44) *Ἐέλδω. παρὰ τὸ ἑλεῖν πρὸς αὑτὸν καὶ ἕλκειν*] Etymologicum MS. Biblioth. Regiae: *Ἐέλδωρ· παρὰ τὸ ἕλειν, ὅ ἐστι ἕλκειν, πρὸς ἑαυτὸν τὸ ἐπιθυμούμενον.* Inde igitur emendandus est *Orion*. Conf. Etymol. M. p. 287, 17. LARCHER.

45) *γορυτὸς*] Scribe *γωρυτὸς*, per ω̄. Vide supra *Γυνή* et *Γωρυτός*. LARCHER.

46) *Ἐπασσώτερος*] Legendum est *Ἐπασσύτερος*. LARCHER.

47) *Ἐπίσατρα*] Lege *Ἐπίσσωτρα*. LARCHER. Conf. *Ἐπίσσωτρον* infra.

48) *ἐπισοεῖσθαι*] Optime. Nam *εἴρηται ἀπὸ τοῦ σῶ τὸ ὁρμῶ*, vt est apud *Varinum Phavorinum* in *Ἐπίσσωτρα*. LARCHER.

49) *Ἐρεπόμενοι*] Corrige *Ἐρεπτόμενοι*. Nam *ἐρέπτω* et *ἐρέπτομαι* est *edo*. LARCHER.

50) *κυρίως ἀπὸ τῶν ἀλόγων*] Legendum est *κυρίως ἐπὶ τῶν ἀλόγων*, *proprie de bestiis*. LARCHER.

51) *παρὰ τὸ ἐν αὐτῷ διειληφέναι πάντας τοὺς καρποὺς, καὶ τὰς τροπάς*] Corrige, vt est in Etymologico MS. Biblioth. Regiae: *παρὰ τὸ ἐν ἑαυτῷ διειληφέναι τὰ πάντα, καὶ τοὺς καρποὺς, καὶ τὰς τροφάς.* LARCHER.

52) *Ἐρεχθεὺς ὁ καὶ Ἐριχθόνιος*] Fuere duo Erechthei: alter antiquior, cognomine Erichthonius, de quo *Orion*, vel ὁ *Ἐριχθόνιος*. Vid. Etymolog. M. p. 336, 29. et 34. Alter fuit sextus rex Athenarum. LARCHER.

53) *ἀπὸ τοῦ ἐσπάρθαι*] Hinc corrigendum est Etymologicon M. p. 336, 29, vbi legitur *ἀπὸ τοῦ ἐσπάσθαι*. LARCHER.

54) *Ἔτησιν — — ἐθᾶσιν*] *Orioni* lucem praebet Etymol. M. p. 350, 45. *Ἔτης, ὁ ἑταῖρος, ἔθης τις ὢν, παρὰ τὸ ἔθος, ὁ συνήθης.* LARCHER.

55) *Ἑρμῶνες* est vox nihili. Lege *Ἑρμῖνες*, *fulcra lecti*, quae vox reperitur bis apud *Homerum*: Odyss. Θ. 278. *ἀμφὶ δ' ἄρ' ἑρμῖσιν χέε δέσματα.* Et Ψ. 198. *ἑρμῖν' ἀσκήσας.* Dicitur *ἑρμὶς* et *ἑρμὶν*, vt *δελφὶς* et *δελφίν*. Vide *Eustath.* ad Odyss. Θ. p. 1598. 34. LARCHER.

56) *ἐνήματα* quid sit, nescio cum ignarissimis. Legendum arbitror *ἐνήλατα*. Nam *ἐνήλατον* est *sponda*. Unde *Joseph.* Antiquitt. Jud. VIII. 5. 2. *τὸ δ' ἐνήλατον τοῦ θρόνου*, *ea pars throni, in qua sedetur.* LARCHER.

57) *ἁρμάς*] Legendum est *Ἑρμᾶς*. Pedes lecti in effigiem Mercurii effecti erant. *Scholiastes* ad *Homer.* Odyss. Ψ. 198. *τῷ δὲ ὀνειροπομπὸν εἶναι καὶ τοὺς κοιμωμένους αὐτῷ εὔχεσθαι, καὶ αὐτὸν ἀναμένειν, εἵλοντο ἐν τοῖς θαλάμοις ἔχειν αὐτὸν φύλακα τοῦ ὕπνου, ἐπινοῆσαί τε καὶ ἀσκῆσαι τοὺς τῶν κλινῶν πόδας εἰς τὴν τοῦ θεοῦ πρόσοψιν, ὅπως ἀλεξήτορας* (Forsan *ἀλεξήτορος*, nempe Dei: *vt habentes speciem Dei malorum somniorum propulsatoris*) *ἔχοντες ἰδέας, τὰ μὲν δείματα μὴ φοβοῖντο, προσδοκῷεν δὲ πλείστην ἐπαφροδισίαν διὰ τῶν ὀνειράτων.* LARCHER.

58) *Εἴρεος*] Scribendum est *Εἴρερος*. Vid. Etymolog. M. p. 274, 2. LARCHER.

59) *εἴρεος*] Iterum lege *εἴρερος*. Sequentia quoque corrigenda sunt. Nam apud *Homer.* Odyss. Θ. 529. legitur *εἴρερον εἰσανάγουσι.* vbi *Scholiastes*: *εἴρερον· αἰχμαλωσίαν.* *Eustathius* ad eundem locum p. 1608, 63. *εἴρερος κατὰ τοὺς παλαιοὺς, αἰχμαλωσία, δουλεία. παρὰ τὸ ἐρεῖν εἴρειν. οἱ γὰρ ἐν δουλείᾳ, καὶ τοῦ λέγειν στέρονται μὴ παῤῥησιαζόμενοι.* Etymologicum MS. Biblioth. Regiae: *παρὰ τὸ εἴργειν ἢ ἐρωεῖν τὸ λέγειν, ὅ ἐστι κωλύειν.* LARCHER.

60) *Ἐξαισία*] Legendum *Ἐξεσίη*, quae vox est Homerica. Iliad. Ω. 235. *ἐξεσίην ἐλθόντι*, *in legationem profecto.* Odyss. Φ. 20. *τῶν ἕνεκ' ἐξεσίην . . . ἦλθεν Ὀδυσσεὺς*, *horum gratia in legationem venit Vlysses.* Nonus liber Iliadis antiquis inscribebatur *Ἐξεσίη*. Auctore *Aristarcho παρὰ τὸν ἥσω μέλλοντα ἡ ἑσία ἐγένετο καὶ ἡ ἐξεσία.* Vid. *Scholia* Veneta ad *Homer.* Iliad. Ω. 235. LARCHER.

61) *συγκοπῇ τοῦ ε̄ ἐρεβεννή. ἢ παρὰ τὸ ἔρεβος*] Haec sunt loco diuulsa. Legendum est *παρὰ τὸ ἔρεβος, ἐρεβεννή, καὶ συγκοπῇ τοῦ ε̄, ἐρεμνή.* Vid. Etymolog. M. p. 335, 46. LARCHER.

62) *Εὔληρα*, *habenae quibus equi circumaguntur et flectuntur.* *Homerus* Iliad. Ψ. 481. *ἐν δ' αὐτὸς ἔχων εὔληρα βέβηκε.* LARCHER.

63) *Ὅμηρος φησί*] Iliad. Ψ. 806. e quo apud *Orionem* scribe *ψαύσῃ δ' ἐνδίνων.* LARCHER.

64) *τῶν μελῶν. καὶ παρὰ τὸ ἐντὸς εἶναι τῶν ὅπλων*] Legendum conicio *τῶν μελῶν. παρὰ τῶν ἐντὸς τῶν ὅπλων μελῶν.* Vide *Scholia* Veneta *Homeri* ad Iliad. Ψ. 806. p. 512. col. 2. lin. 13. LARCHER.

Digitized by Google

διὰ τοῦ ἕως ταύτης ἡμᾶς κατακεκρῖσθαι[65]. ἢ διὰ τὸ ἴεσθαι ἡμᾶς ἐν ταύτῃ[66].

Ἐπηγκενίδες[67]. αἱ πλατεῖαι σανίδες ἐπιτενεῖς οὖσαι. ἔστι δὲ παρὰ ἐνέγκω ῥῆμα καὶ ἐνείκω[68]. ἀλλά μ' ὑπήνεγκαν[69]) ταχέες πόδες· παρὰ τὸ ἐνέγκω ποδηνεκές[70]. ἐνέγκω οὖν ἐνεκὴς καὶ ἐπενεκὶς καὶ ἐπηνεκίς, τροπῇ τοῦ ε εἰς η. τὸ παρατεταμένον, καὶ διεληλυθὸς, καὶ μακρόξυλον. ὑπερθέσει καὶ μεταθέσει τοῦ ν, ἐπηγκενίς, ἡ μακρὰ σανίς.

Εὖρος, ὁ ἄνεμος. παρὰ τὸ εὐρὺ καὶ σφοδρὸν τῆς πνοῆς.

Ἐπωγαί, οἱ συγκεκλεισμοί[71]. ἀπὸ τοῦ ἐπῶξαι[72], ὅ ἐστι συγκλεῖσαι· καὶ πυλέων· πᾶσαι γὰρ ἐπῴχατο[73], ἀντὶ τοῦ κεκλεισμέναι ἦσαν.

Εὐχή. ἡ τοῦ εὖ ἔχειν αἴτησις[74].

Ἐπισκύσαι, τὸ χαλεπῆναι· ἀπὸ τοῦ τὸ ἐπισκύνιον καθελκύσαι τοὺς χαλεπαίνοντας.

Ἐρίηρες. παρὰ τὸ ἄγαν ἀρηρέναι. τὸ γὰρ ερι ἐπίτασιν σημαίνει.

Εἶδαρ. παρὰ τὸ ἔδω τὸ ἐσθίω, ἔδαρ, καὶ πλεονασμῷ τοῦ ι, εἶδαρ.

Ἔθειραι, αἱ ἐπιμελείας ἀξιούμεναι τρίχες. ἔθειν γὰρ τὸ ἐξ ἔθους τι ποιεῖν. ὁ δὲ Σωρανὸς φησὶν ἔθειραν παρὰ τὸ ἐξ ἔθους ῥεῖν καὶ ἐκπίπτειν ἐπὶ τῶν φαλακρουμένων.

Ἐλεόν, ἡ μαγειρικὴ τράπεζα. παρὰ τὸ ἐξ ἐλαΐνων ξύλων πλέκεσθαι, οἱονεὶ ἐλαόν[75].

Ἐπισχερῶ[76], τὸ ἐγγύς[77], παρὰ τὸ σχέσιν ἔχειν παρὰ ἄλληλα. τινὲς δέ φασι, κατὰ μετάθεσιν τοῦ δ εἰς ρ, οἷον, ἐπίσχε δύο[78].

Εὐράξ, οἷον πλευράξ, κατὰ ἀποβολὴν τοῦ πλ. οὕτως Ἡρακλείδης ἐν τῷ περὶ δυσκλίτων ῥημάτων. ἀπὸ δὲ τούτου δύναται τὸ πλάτος εὖρος. οἷον πλάτος καὶ εὖρος. ὡς γὰρ πρὸς τὸ ὀρθὸν μῆκος τὸ πλάτος.

Ἔπαλξις, ὁ προμαχών. ἐπάλεξις οἷον τις οὖσα[79].

Ἐρικεῖν. ἀπὸ τῆς ἐρίκης[80], ὅ ἐστιν εὐσχιδὲς ξύλον. ἐρεγμὸς καὶ ἐρεχμὸς, ὁ διασχιζόμενος κύαμος. οὕτως εὗρον ἐν Ὑπομνήματι, καὶ ἐρέκτας τοὺς ἐπὶ τοῦτο ἐργάτας Ἀλεξανδρεῖς[81].

Εἶλαρ. φύλαγμα, φράγμα. παρὰ τὸ εἰλεῖν καὶ συνέχειν.

Ἑδανόν, ἡδύ. παρὰ τὸ ἥδω καὶ ἥδομαι.

Ἑανόν. παρὰ τὸ ἕσσασθαι.

Ἐφετμή. ἀπὸ τοῦ ἐφίημι, ἐφεσμή, καὶ κατὰ ἐναλλαγὴν τοῦ σ εἰς τ, ἐφετμή.

Ἐέρσαι. αἱ δρόσοι. παρὰ τὸ ἔρσαι[82], ὅ ἐστι ποτίσαι. ποτίζει γὰρ τὰ φυτὰ ἡ δρόσος.

Ἑρμῆς. ὅτι μέγιστον ἐστὶ ἕρμα τῶν περὶ τὸν βίον.

Ἐγγηής. παρὰ τὸ ἥδομαι, καὶ ἧσαι. ἢ παρὰ τὸ ἡδὺς νηής, ὡς βροθὺς ἐμβριθής[83].

Ἐρυμνή. παρὰ τὸ ἔρυμα. οἷον ἐρύματος τάξιν περιέχουσα.

Εὔκηλος. πλεονασμῷ τοῦ υ ἔκηλος[84]. παρὰ τὸ εἴκω τὸ ὑποχωρῶ. ὁ δὲ ὑποχωρῶν ἡσυχάζει.

Ἔλεγχος. πλεονασμῷ[85] τοῦ γ ἔλεγχος ἐστὶν, ἐπεὶ ἑλὴν ἔχειν[86]. ἑλὴ δὲ ἡ τοῦ ἡλίου λαμπεδών[87]. λαμπρύνεται δὲ τὸ ζητούμενον καὶ φανεροῦται ἀντὶ τούτου.

---

65) *διὰ τοῦ ἕως ταύτης ἡμᾶς κατακεκρῖσθαι*] Quaedam desunt, restituenda ope Etymologici M. p. 319, 9. *σημαίνει δὲ τὴν ἡμέραν· ἢ διὰ τοῦ ἕως ταύτης ἡμᾶς κατακεχρῆσθαι.* In Etymologici loco laudato est *κατακλίνεσθαι.* Sed procul dubio legendum est *κατακεχρῆσθαι.* LARCHER.

66) *ἐν ταύτῃ*] Corrige *ἐν αὐτῇ.* LARCHER.

67) *Ἐπηγκενίδες*] Vide *Hesych.* in *Ἐπηγκενίδες*, ibique interpretes. In *Suida* legitur *Ἐπιγκενίς.* *Kusterus* restituit *Ἐπηγκενίς*, quod *ἐπιγκενίς* ordini literarum refragaretur. Sed in *Suidae* omninoque in omnium Lexicis non omnia suo ordine leguntur. *Ἐπιγκενίδες* reperitur in Etymologico MS. Biblioth. Reg. et sic explicatur: *αἱ πλατεῖαι σανίδες· οἷον ἐπιτρεπεῖς οὖσαι, κρόκης τάξιν ἐπέχουσαι. ἔστι δὲ παρὰ τὸ ἐνέγκω ῥῆμα, καὶ ἤνεγκον κ. τ. λ.* LARCHER.

68) *ἐνείσκω*] Legendum est *ἐνείκω.* LARCHER.

69) *ὑπήνεγκαν*] Verba allata sunt ex *Homer.* Iliad. *E.* 885, vbi *ὑπήνεικαν* editum est, quod haud dubie reddi debet etiam *Orioni.* LARCHER.

70) *ποδηνεκές, ad pedes pertingens.* Bis haec vox reperitur apud *Homerum*: Iliad. *K.* 24. et *O.* 646. LARCHER.

71) *Ἐπωγαί, οἱ συγκεκλεισμοί*] Emendandum est *Ἐπωγαί· οἱ συγκεκλεισμένοι τόποι*, vel potius *οἱ συγκλεισμοί*, vt diserte legitur in Etymologico MS. Bibliothecae Regiae. Vox *ἐπωγή* reperitur apud *Homerum*, *Apollonium Rhodium* et alios. Vid. *Brunck.* ad *Apollon. Rhod.* IV. 1640. LARCHER.

72) *ἀπὸ τοῦ ἐπῶξαι*] Optime. Hinc emendandum est Etymologicon M. p. 328, 41, vbi legitur *ἀπὸ τοῦ ἐποῖσαι.* *Ἐπῶξαι* est aoristus primus infinitiui verbi *ἐποίγω.* LARCHER.

73) *καὶ πυλέων —— ἐπῴχατο*] Est versus *Homeri* Iliad. *M.* 340, qui sic legitur: *καὶ πυλέων· πᾶσαι γὰρ ἐπῴχατο.* *Aristarchus* in *Scholiis* ad *Homerum* Venetis vulgatis laudatus legit cum *Orione* *πᾶσαι γὰρ ἐπῴχατο.* Deinde sequitur haec nota: *διὰ τοῦ α, καὶ σὺν τῷ ι, οἷον ἐπικεκλειμέναι ἦσαν, ἐπίκειντο.* Alia est lectio *Zenodoti*: *πάσας γὰρ ἐπῴχετο.* de qua vide *Clarkium* et *Ernestium.* *Scholiastes Villoisonianus* ad hunc locum: *ἐὰν γράφηται ἐπῴχετο, τὸ πρὸ αὐτοῦ πάσας γραφέσθω· ἐπῴχετο δὲ ἡ αὐτὴ δηλονότι. Ἄλλως· ἐπὶ πάσας γὰρ ὁ ὀχεὺς κεκλειμένος ἦν· ἢ ἐπὶ πάσας ᾤχοντο οἱ πολέμιοι.* Lectio *Aristarchi* et *Orionis* potior mihi videtur. LARCHER. Eam *Wolfius* quoque secutus est, nisi quod praetulit *ἐπώχατο*, iota non subscripto.

74) *Εὐχή· ἡ τοῦ εὖ ἔχειν αἴτησις*] Etymologicum MS. Biblioth. Regiae: *Εὐχή· παρὰ τὸ εὖ ἔχειν· ἡ τοῦ εὖ ἔχειν αἴτησις· ἢ καλῶς· τὸ γὰρ εὖ μόριον ἀεὶ καὶ διαπαντὸς ἀντὶ καλοῦ παραλαμβάνεται, πλὴν τοῦ εὐώνυμος.* LARCHER

75) *οἱονεὶ ἐλαόν*] Legendum est *οἱονεὶ ἐλαιῶν.* quae vox redonanda Etymologico M. p. 270, 36, et *Scholiis* Venetis ad *Homer.* Iliad. *I.* 215. pro *ἐλείων.* LARCHER.

76) *Ἐπισχερῶ*] Lege *Ἐπισχερώ.* LARCHER.

77) *τὸ ἐγγύς*] Malim *τὸ σύνεγγυς* cum Etymologico M. p. 330, 14. LARCHER.

78) *ἐπίσχε δύο*] Fortassis legendum est *ἐπισχεδὸν*, quod significat *σύνεγγυς.* LARCHER.

79) *ἐπάλεξις οἷον τις οὖσα*] Legendum est *οἷον ἐπαλέξησίς τις οὖσα.* Vid. Etymol. M. p. 320, 22. LARCHER. In Excerptis ex *Orione* p. 613, 43. legitur: *οἷον ἐπάλεξίς τις οὖσα· καὶ βοηθός.*

80) *Ἐρικεῖν. ἀπὸ τῆς ἐρίκης*] Scribe *Ἐρείκειν. ἀπὸ τῆς ἐρείκης.* LARCHER.

81) *ἐρέκτας —— Ἀλεξανδρεῖς*] Nomine *ἐρέκτης*, ita usurpato, augeri potest mea verborum Alexandrinorum collectio in libro de Dialecto Macedon. et Alexandr. p. 73.

82) *παρὰ τὸ ἔρσαι*] Etymol. M. p. 312, 54. *παρὰ τὸ ἄρδω ἄρσω, ἄρση, καὶ ἔρση.* Etymologicum MS. Biblioth. Regiae: *παρὰ τὸ ἄρσαι, ὅ ἐστι ποτίσαι.* LARCHER.

83) *Ἐγγηής κ. τ. λ.*] Monstrum lectionis, ope Etymologici Magni procurandum. Lege: *Ἐνηής. παρὰ τὸ ἥδομαι καὶ ἧσαι. ἢ παρὰ τὸ ἡδὺς νηής, ὡς βριθὺς ἐμβριθής.* Vid. Etymol. M. p. 309, 11. LARCHER.

84) *Εὔκηλος. πλεονασμῷ τοῦ υ ἔκηλος*] Legendum suspicor: *Εὔκηλος· ἔκηλος, πλεονασμῷ τοῦ υ εὔκηλος.* LARCHER.

85) *Ἔλεγχος. πλεονασμῷ τοῦ γ*] Lege: *Ἔλεγχος. ἔλεχος, πλεονασμῷ τοῦ γ, κ. τ. λ.* LARCHER.

86) *ἐπεὶ ἑλὴν ἔχειν*] Saltem *ἔχει* scribendum est. Etymol. M. p. 296, 16. *παρὰ τὸ ἑλὴν ἔχειν.*

87) *λαμπεδών*] Scribe *λαμπηδών.* Et sic est infra in v. *Εἰλικρινής.*

Digitized by Google

Ἕρκος. κατὰ ἀποβολὴν τοῦ ῡ ἕρυκος, καὶ ἕλκος[88]).

Ἐνίπτω. πλεονασμῷ[89]) τοῦ τ̄, καὶ τροπῇ τοῦ ε̄ εἰς ῑ, ἐνίπτω. πολλάκις δὲ ἐπείσοδος συμφώνου τρόπον[90]) ποιεῖ· τέκω, τίκτω· ἔπω, ἴσπω, ἐνίσπω· βλάβω βλάπτω· ἐπεισόδῳ τοῦ τ̄, καὶ τροπῇ τοῦ β εἰς π̄.

Ἐξετάζω. παρὰ τὸ ἐτεὸν τὸ ἀληθὲς ἐτάζω[91]) ἐστίν. ὡς ἵππος ἱππάζω· μάταιον ματαιάζω· ἐτεάζω οὖν, τὴν ἀλήθειαν ἀνακρίνω, καὶ ἀποβολῇ τοῦ ε̄, ἐτάζω καὶ ἐξετάζω.

Ἐμπέραμος. παρὰ τὴν πεῖραν ἐμπείραμος, καὶ ἀποβολῇ τοῦ ῑ, ἐμπέραμος.

Εἱμαρμένη. παρὰ τὸ μείρω τὸ μερίζω, μέμαρμαι καὶ μεμαρμένη, ἡ εἱμαρμένη[92]), ἀποβολῇ τοῦ μ̄, καὶ προσθέσει τοῦ ῑ, εἱμαρμένη, ἡ μεμερισμένη ἑκάστῳ. ἀποβολῇ δὲ καὶ προσθέσει[93]), ὡς λέλειφα εἴληφα. Ἀττικὸν γὰρ τοῦτο.

Εἰσμερνή[94]). κατὰ ἀποβολὴν τοῦ ῥ̄, ῥειαμένη. ἐστὶ παρὰ τὴν ῥεῦσιν τῶν ὑδάτων, ἢ παρὰ τὴν ἕσιν[95]) τῶν ὑδάτων καὶ βοτανῶν αὐτομάτως· ἢ ἐξ ἧς ἵενται. ἢ ἰαίνομαι, εἰ ἀνενήτις οὖσα[96]). οὕτως ἐν Ὑπομνήματι εὗρον.

Ἐπίῤῥησις, ὁ ψόγος, καὶ ἡ κατηγορία[97]). ἔνθεν λοιπὸν καὶ ἐπίῤῥητος[98]). Ἀρχίλοχος ἐν Ἐλεγείοις· Αἰσιμήδη δηλοῦμεν ἐπιῤῥήσει μελεδαίνων[99]). οὐδεὶς ἂν μάλα πολλ' ἱμερόεντα πάθοι. ἐπίῤῥητος οὖν, παρὰ τὴν ῥῆσιν, ἐφ' ᾧ ἄν τις πολλὰ λέγοι ψόγων.

Ἔντερα. ἀπὸ τοῦ δι' αὐτῶν ῥεῖν τὴν τροφὴν καὶ τὸ αὐτῆς περίττωμα· ἢ ἀπὸ τοῦ εἱλοῦσθαι· οἷον ἔντελα[100]) τὰ ἐντὸς εἱλούμενα. οὕτως Σωρανός.

Ἔμβρυον. ἀπὸ τοῦ ἔνδον βρύειν καὶ αὔξεσθαι. ἢ ἔνδον ἔχειν τὴν βοράν. ἢ ἔνδον εἶναι βροτοῦ[1]). ὡς ἐνδόβρυον. οὕτω Σωρανός.

Ἐπίπλους. οἷον ἐπιπλεῖν καὶ ἐπὶ πύλης εἶναι[2]). οὕτω Σωρανός.

Ἐπιγονατίς. διὰ τὸ ἐπὶ γόνατα κεῖσθαι.

47) *πεσεῖν, ἢ ἥδεσθαι καὶ ἐπακολουθεῖν θεοῖς*] *Πεσεῖν* est futurum verbi *πίπτω*. Vid. Etymol. M. p. 406, 49. LARCHER. Ibi vero legitur: *πίπτω, οὗ ὁ μέλλων πέσω*. Itaque *πεσεῖν* est aoristus secundus. STVRZ. Pro sequente *ἥδεσθαι* legendum est *ἕπεσθαι* cum Etymologico M. p. 406, 53. LARCHER. Etiam praecedens *θεοπεσία* ex eodem Etymol. M. mutandum puto in *θεοπεσία*.

48) *θρυλλίχθη*] Haec vox reperitur apud *Homerum* Iliad Ψ. 396. Hinc *θρύλλιγμα*, *confractum quid*, apud *Lycophronem* vers. 880. LARCHER.

49) *παρὰ τὸν σάλον*] In Codice male scriptum est *παρὰ τὸ σάλον*. Nam *σάλος* est masculini generis. LARCHER.

50) *παρὰ τὴν $\overline{\text{αλ}}$ γενικήν*] Hac lectione nihil est insulsius. Legendum est *παρὰ τὴν ἁλὸς γενικήν*. Vid. Etymol. M. p. 399, 29. e quo etiam *ἄλασσα* scribi posset. Vtrumque, et *ἁλὸς* et *ἄλασσα*, extat in Excerptis p. 614.

51) *ἔκλειψις τοῦ θ̄*] *Orion* mihi videtur scripsisse *ἔλλειψις τοῦ θ̄*. LARCHER.

52) *παρὰ τὸ θέην, θεήγω*] Repone cum Etymologico M. p. 408, 15. *παρὰ τὸ θοὸν θοήγω*. Nam, vt ibidem dicitur, *θήγω* est *τὸ θοὸν καὶ ὀξὺ ποιῶ*. LARCHER.

53) *ἴσθι πρισῖα* etc.] Eadem reperies in Etymologico M. p. 401, 57. et apud *Suidam* in voc. *Ἐπαικία*. Scribendum est *ἴθι πρῳῖα*. Illud *πρισῖα* ortum e vitiosa pronuntiatione. Conf. *Callimachi* Fragm. CXXXI. ibique notas *Bentleii* et *Ernesti*. LARCHER.

54) *θυμοφθόνοι*] Legendum est *θυμοφθόροι*, vt est in Etymologico M. l. l. LARCHER.

55) *ὀρούσης*] Corrige *θορούσης*, vt in Etymologico M. p. 417, 26. legitur. In Etymologico MS. Regiae Bibliothecae male scriptum reperitur *θωρώσης*. Haec quidem olim fuerat mea sententia. Sed postea, re melius pensitata, vidi solum spiritum mutandum esse, et scribendum *ὀρούσης* cum spiritu leni. Nam *ὀρούω* est *ruo, impetu feror*. LARCHER.

56) *Θρίαι*] Vide Etymol. M. in voc. *Θρίαι* p. 415, 34. *Suidam*, *Scholiasten Callimachi* ad Hymn. in Apoll. vers. 45. vbi *θριαὶ* scribitur, et *Spanhemium* ad eundem *Callimachi* locum. LARCHER.

57) *πάντας*] Scribendum est *πάσας*. Nam et *ψῆφοι* et *Θρίαι* sunt generis feminini.

58) *Ἀπόλλωνος αὐτὴν ἐγκαλοῦντος*] nempe quod prouinciam ipsius inuaderet. Nam, vt *Callimachus* Hymn. in Apoll. 45. dicit, *κείνου δὲ θριαὶ καὶ μάντιες*, *illius sortes sunt et vates*. LARCHER.

59) *τὰ δὲ*] Vix dubito, quin scribendum sit *τάδε*, *Nympharum nomina sunt haec*. Ipsa vero nomina per librarii socordiam exciderunt.

60) *Θρία τε*] Vel *δὲ*, vel *τὰ* legendum puto pro *τε*. St. *Θρία* est pluralis, cuius singularis est *θρῖον* vel *θρίον*. LARCHER.

61) *Θορός, ὁ σπόρος*] Etymologicum MS. Biblioth. Reg. ad-

Digitized by Google

Θίς. ὁ αἰγιαλός. παρὰ τὸ θέω· ὁ παραθέων τῇ θαλάσσῃ[62]).

Θίς. ὁ σωρός. παρὰ τὸ θῶ, ἀφ' οὗ συνέβη θεῖναι[63]).

Θώραξ[64]). ὃ δηλοῖ τὸ εὐωχοῦμαι, ἤτοι ἐν εὐωχίᾳ εἰμί· ἀφ' οὗ Δωριεῖς θῶσθαι[65]) λέγουσι τὸ εὐωχεῖσθαι.

Θοίνη, ἡ εὐωχία, παρὰ τὸ θῶ, τρίτης ἐστὶ συζυγίας[66]), τὸ στρέφω[67]), θήσω μέλλων. ῥηματικὸν ὄνομα θώνη, καὶ τροπῇ τοῦ ω̅ εἰς τὴν οι δίφθογγον, θοίνη, ὡς τὸ ἀγκὼν ἀγκώνη καὶ ἀγκοίνη, εἴρω τὸ πλέκω. εἱρμός[68]).

Θηλή. παρὰ τὸ[69]) θήσω μέλλοντα· ἐξ οὗ θηλάσσω[70]), καὶ θηλή.

Θῶκος. παρὰ τὸ θέσω, καὶ θώσω· ὅ ἐστιν ἀπὸ τοῦ θῶ. οὗ μέλλων θώσω. οὕτω Φιλόξενος.

Θάλλω. παρὰ τὸ θῶ τὸ τρέφω, καὶ παράγωγον θάλλω.

Θημών. παρὰ τὸν θήσω μέλλοντα.

Θυοσκόος. ὁ ἀπὸ τῶν θυομένων κοῶν, ὅ ἐστι νοῶν[71]).

Θυάδες. αἱ Βάκχαι· παρὰ τὸ θύω τὸ ὁρμῶ.

Θελημός. θελήσω μέλλων· ἀπὸ τοῦ θελῶ· θελησμός· ὡς μελήσω μελησμός· καὶ ἀποβολῇ τοῦ σ̅, θελημός.

Θύελλα· παρὰ τὸ θύω τὸ ὁρμῶ, θύελλα, ὡς παρὰ τὸ ἄω τὸ πνέω. ἄελλα.

Θᾶσσον· παρὰ τὸ ταχύς· συγκριτικὸν τάσσων, καὶ τροπῇ τοῦ τ̅ εἰς θ̅. θάσσων· ὡς παρὰ τὸ παχὺς πάσσων. παρὰ δὲ τὸ θάσσων θάττων[72]).

Θρησκεύειν. παρὰ τὴν Θρακῶν ἐπιμέλειαν τὴν περὶ τὸ θεῖον. καὶ τὴν τοῦ Ὀρφέως ἱερουργίαν. δύναται δὲ καὶ παρὰ[73]) τοὺς θεοὺς ἀρέσκειν, ὅ ἐστιν ἐξευμενίζεσθαι.

Θύσκανος· παρὰ τὸ θύνω τὸ ὁρμῶ.

Θυόεις. θύω θυόεις.

Θεουδής. ὁ τὰ ἔθη τῶν θεῶν σέβων.

Θεμέλια. δεμῶ τὸ οἰκοδομῶ· ἀφ' οὗ δεμέλια, καὶ τροπῇ τοῦ δ̅ εἰς θ̅, θεμέλια.

Θέρω· τὸ θερμαίνω. παρὰ τὸ θέω[74]), πλεονασμῷ τοῦ ρ̅. τὸ γὰρ ταχὺ καὶ θερμὸν λέγομεν, ὡς εἴρηται· ὡς φθίνω φθείρω, καὶ θέω θέρω.

Θρώσκω. ἀπὸ τοῦ θέρω θερίσκω[75]), ὡς στέλω στελίσκω[76]). μεταθέσει τοῦ ο̅ εἰς ω̅[77]), καὶ συγκοπῇ, θρώσκω.

Θρασύς. παρὰ τὸ θέρω. οὗ μέλλων θέρσω κατ' Αἰολέας, καὶ θερσύς, καὶ καθ' ὑπέρθεσιν, καὶ τροπῇ τοῦ ε̅ εἰς α̅, θρασύς. θερμοὶ γὰρ οἱ θρασεῖς.

Θάτερον. παρὰ τὸ ἅτερον· Δώριον. εἰ γὰρ ἦν παρὰ τὸ ἕτερον, θοὔτερον ἦν· ὡς γίνεται τὸ ἔλαιον τοὔλαιον. ἀλλὰ τὸ ἕτερον παρὰ Δωριεῦσι λέγεται θάτερον· ὡς ἄγαγον τἄγαθόν[78]). ἔμεινε δὲ τὸ τ̅ ἄτρεπτον, ἐπειδὴ ψιλοῦται τὸ ἀγαθόν. τὸ δὲ ἅτερον δασύνεται.

Θύρα. θύω τὸ ὁρμῶ, δι' ἧς ὁρμῶμεν.

Θολῶ. παρὰ τὸ θόλον[79]). θόλος δὲ[80]) τὸ μέλαν τῆς σηπίας.

Θαῦμα. παρὰ τὸ θαυμάζω, θαυμάσω, θαύμασμα. καὶ κατ' ἔνδειαν τοῦ σ̅, καὶ κατὰ ἀποκοπήν, θαῦμα. οἱ δὲ παρὰ τὸ θεῶμαι θέαμα. καὶ κατὰ κρᾶσιν θαῦμα.

Θέα. ἡ θωρία[81]). παρὰ τὸ θέω, οὗ παθητικὸν θεῶμαι. βαρυτονεῖται δὲ πρὸς ἀντιδιαστολὴν τοῦ θεὰ ἅπερ τῆς θεοῦ. ὡς θολὸς τὸ οἰκοδόμημα, θόλος δὲ τὸ μέλαν τῆς σηπίας.

---

dit: *ὁ σπόρος ἀνθρώπινος*. Deinde: *ἡ ἔγκρισις* (Lege *ἔκκρισις*) *τοῦ σώματος· παρὰ τὸ μετὰ ὁρμῆς πέμπεσθαι*. Larcher.

62) *Θὶς ὁ αἰγιαλός*] Eo sensu *θὶς* est masculini et feminini generis. Vid. Etymol. M. p. 408, 2. et 34. e quo eodem p. 410, 16 et 17. mutilus *Orion* integritati restituendus est. Larcher.

63) *Θίς, ὁ σωρός*] Etiam hoc sensu *θὶς* est generis et masculini et feminini. Vid. Etymol. M. p. 408, 6 et 55. Sequentia verba, *ἀφ' οὗ συνέβη θεῖναι*, corrigenda sunt ex Etymol. M. p. 410, 20. *ἀφ' οὗ θεῖναι καὶ ἐπιθεῖναι*. Larcher.

64) *Θώραξ*] Post hoc nomen aliquid deest. Lego *παρὰ τὸ θῶ, ὃ δηλοῖ κ. τ. λ.* ex Etymol. M. p. 417, 31. Larcher.

65) *ἀφ' οὗ —— εὐωχεῖσθαι*] Hinc corrige Etymologicon M. p. 417, 32. vbi eadem verba reperiuntur, sed male *θωρεῖσθαι* pro *θῶσθαι* editum est. Vid. *Hesych.* in v. *Θῶξαι*, et ibi interpretes. Larcher.

66) *τρίτης ἐστὶ συζυγίας*] Adde *τῶν περισπωμένων* ex Etymol. M. p. 411, 56. Larcher. Ante *τρίτης* etiam *ὃ* desidero, nisi *ἐστὶ* deleatur.

67) *τὸ στρέφω*] Verbum *θῶ* nequaquam accipi potest ea notione, qua *στρέφω*. Lege *τρέφω*. Nam *Eustathius* in Odyss. *Δ*. p. 1485, 23. *θῆσθαι δὲ, οὐ μόνον τὸ θηλάζειν, ἀλλὰ καὶ τὸ ἀμέλγειν, ὡς νῦν*. Deinde *θώσω* pro *θέσω* legendum. Etenim verbale *θώνη* non potest derivari a futuro *θήσω*, quanquam hoc futurum probum esse noverim. Larcher.

68) *εἱρμὸς* non est noua glossa huc illata, sed aliud exemplum, cuius finis deest, sic fortasse supplendum: *ἑρμιόνη Ἑρμιόνη*. Nam *Ἑρμιόνη* est ab *εἴρω*. Vid Etymol. M. p. 341, 44. Larcher.

69) *παρὰ τὸ θήσω μέλλοντα*] Scribe *παρὰ τὸν θήσω μέλλοντα*, vt paulo post in voc. *Θημών* est. Larcher. Conf. supra not. 31.

70) *θηλάσσω*] Vel *θηλάσω* vel *θηλάζω* est legendum.

71) Vid. Etymol. M. p. 415, 42. vbi agitur de differentia, quae est inter *θυοσκόους* et *ἱερεῖς*. Conf. *Orion* in v. *Μαντικός*.

72) *θάσσων θάττων*] Ita scripsi pro *θᾶσσον θᾶττον*.

73) *παρὰ τοὺς θεοὺς ἀρέσκειν*] Inter *παρὰ* et *τοὺς* inseri debet *τὸ*, quod et linguae ratio postulat, et Etymol. M. p. 412, 15. docet. Excerpta ex *Orione* p. 614, 7. habent: *Θρησκεία, ἐκ τοῦ ἀρέσκειν θεῷ· θεαρεσκεία τις οὖσα*. Sturz. Tota glossa paene verbatim descripta est ab auctore Etymologici M. in voc. *Θρῆσκος* p. 412, 11. Sed vide *Hemsterhusium* in *Joh. Dan. a Lennep* Etymol. linguae Graecae P. I. p. 343 sq. Larcher.

74) *θέω* significat *curro*. Etymol. M. p. 405, 54. *τὸ δὲ θέρω, παρὰ τὸ θέω τὸ τρέχω*. Larcher.

75) *θέρω θερίσκω*] Legendum procul dubio est *θορῶ* siue *θορῶ θορίσκω*. Vid. Etymol. M. p. 414, 49. Larcher.

76) *ὡς στέλω στελίσκω*] Legendum suspicor *ὡς στερῶ στερίσκω*. Nam *στέλω* et *στελίσκω* ne Graeca quidem sunt. Etymologicon M. p. 414, 50. *ὥσπερ γὰρ ἀπὸ τοῦ εὑρῶ καὶ στερῶ γίνεται εὑρίσκω καὶ στερίσκω διὰ τοῦ ι̅, οὕτως ἀπὸ τοῦ θορῶ θωρίσκω, διὰ τοῦ ι̅· καὶ καθ' ὑπέρθεσιν θρωΐσκω· καὶ κατὰ συναίρεσιν, θρώσκω*. Larcher.

77) *μεταθέσει τοῦ ο̅ εἰς ω̅*] Potius legendum videtur *μεταθέσει θροίσκω, τροπῇ τοῦ ο̅ εἰς ω̅, καὶ συγκοπῇ θρώσκω*. Larcher.

78) *ἄγαγον τἄγαθόν*] Corrige *τὸ ἀγαθὸν τἀγαθόν*. Vid. Etymolog. M. p. 402, 30. Larcher. *Bastius* ad *Gregor.* de Dialectis p. 502. totum *Orionis* locum attulit sic, vt ante *Δώριον* non interpungeret, post *θοὔτερον* addendum putaret *ἄν*, et pro *ἄγαγον* lege *ἀγαθὸν* iuberet. Praeterea *παρὰ Δωριεῦσιν* legit. *Schaeferus* ibidem negat opus esse, vt *ἂν* inseratur. quod iudicium ego quidem non vbique sequendum arbitror, sed *ἄγαγον* rectius *Bastio* in *τὸ ἀγαθὸν* mutandum suspicatur.

79) *παρὰ τὸ θόλον*] Vel *παρὰ τὸν θολὸν* legendum est, vel *παρὰ τὸ θολός*. Vid. *Sylburg.* ad Etymolog. M. p. 455, 28. (p. 808. edit. Lips.) Larcher.

80) *θόλος δὲ*] Scribi debet *θολὸς δὲ*, cum accentu in vltima. Larcher. Nam non solum in Etymologico M. p. 412, 28. et 30. inter se distinguuntur *θόλος* et *θολός*, sed etiam ab *Orione* paulo post in voc. *Θέα*. St. De isto turbido humore, quem emittunt sepiae, vide *Oppianum* de Piscat. III. 156 sq. Larcher.

81) *θωρία*] Lege *θεωρία*. Vid. Etymol. M. p. 402, 7. De-

Digitized by Google

ΑΡΧΗ ΤΟΥ Ι.

Ἱερὸν ἦμαρ[82]). οὕτως εἴρηται τὸ πρὸ τῆς μεσεμβρίας[83]). ἐν τούτῳ γὰρ τῷ καιρῷ ἔθυον τοῖς Ὀλυμπίοις θεοῖς, ἀπὸ δὲ μεσεμβρίας τοῖς χθονίοις.

Ἰωχμός. διωχμός τις ὤν, καὶ διωγμὸς, κατὰ τροπὴν τοῦ χ̄ εἰς γ̄.

Ἰωή. ἡ μετὰ ποιᾶς φωνῆς ὁρμή. ἀπὸ τοῦ ἰέναι καὶ ἐμπεριήχησιν τινὰ ποιεῖν.

Ἰγνύα. τὸ ὄπισθεν τοῦ γόνατος. ἐπεὶ αἴτιον ἐστὶν ἡμῖν τοῦ ἱκνεῖσθαι, ὅ ἐστι πορεύεσθαι.

Ἰδνωθείς. οἷον τὸ ἠνίον[84]) δινωθείς. δηλοῖ δὲ καὶ τὸ καμφθῆναι. παρὰ τὸ ἵζω, οὗ παράγωγον ἰζάνω[85]).

Ἰόμωροι. οἱ περὶ τοὺς ἰοὺς μεμοιραμένοι[86]). παρὰ τὸ μόρον[87]), ὃ σημαίνει τὴν εἱμαρμένην καὶ κακοπάθειαν.

Ἰκρία[88]). τὰ σανιδώματα. παρὰ τὸ δι' αὐτῶν ἱκνεῖσθαι καὶ διαβαίνειν.

Ἰξύς. εἴρηται οἷον ἀξυστίς τις οὖσα[89]), ἣν οὐχ οἷόν τε ξύσαι καὶ κνήσασθαι.

Ἴσθιον[90]). τὸ κόσμιον, τὸ περιτιθέμενον τῷ τραχήλῳ. ὅθεν καὶ παρίσθμια.

Ἰλλίζειν, τὸ διανεύειν. παρὰ τὸν ἴλλον, ὅ ἐστι διεστραμμένον κυρίως. ἢ τὸ διανεύειν τοῖς ὀφθαλμοῖς· παρὰ τὴν εἴλησιν, τὴν κίνησιν.

Ἰάψαι. πλεονασμῷ τοῦ ᾱ. παρὰ τὸ ἴπτω ἴψω ἰάψω.

Ἰήϊος[91]). ἐπίθετον Ἀπόλλωνος. παρὰ τὸ ἵημι· ὁ τοξότης· παρὰ τὴν ἕησιν[92]) τῶν βελῶν, ἤτοι τὴν ἄφεσιν. τὸ δὲ ἤϊε Φοῖβε[93]) κατὰ ἀποβολὴν τοῦ ῑ, ὅτι αὐτὸς[94]) ἐστὶ τῷ ἡλίῳ· ὅτι πανταχοῦ ἵησι τὴν ἀκτῖνα.

Ἰσχνός. παρὰ τὸ ἴσχω, οὗ παράγωγον ἰσχνῶ. ὄνομα ἰσχνός.

Ἰνίον. ἀπὸ τοῦ ἐν τῇ καταβάσει τῇ ἀπὸ τῆς κορυφῆς κάτω ἰέναι. ἢ ἀπὸ τοῦ ἐκτεῦθεν[95]) ἄρχεσθαι τὰς ἶνας, τουτέστι τὰ νεῦρα· ἐπειδή περ ἵεται διὰ τοῦ σώματος· τοιοῦτον δὲ καὶ τὸ[96]), Οὐ γὰρ ἔτι σάρκας τε καὶ ὀστέα ἶνες ἔχουσιν.

Ἰατρική. πλεονασμῷ τοῦ ρ̄· ἰατική τις οὖσα, παρὰ τὸ ἰᾶσθαι.

Ἴουλος ἐκλήθη ἀπὸ τοῦ ζώου τοῦ ἰούλου, πολλοὺς καὶ πυκνοὺς πόδας ἔχοντος· ἢ ἀπὸ τοῦ οὔλας καὶ πυκνῶς εἰλοῦσθαι[97]).

Ἱερὸν ὀστοῦν, ἐκλήθη τὸ ἄκρον τῆς ὀσφύος, ὅτι μέγα ἐστίν.

Ἰσθμός. θάλασσαν ἔχων[98]) ἑκατέρωθεν, βάσιμος. ἴσθμια δὲ τὰ βήματα.

Ἴφια μῆλα. κατ' ἀντίφρασιν τὰ ἀνίσχυρα[99]).

Ἰλύς. ἰλύσω· καὶ ἀποβολῇ τοῦ ω̄, ἰλύς.

Ἶνις. ὁ ἀπόγονος. παρὰ τὴν ἰνὸς γενικὴν παρωνύμως[100]).

Ἶσις. παρὰ τὸ ἴσον. ἡ αὐτὴ γὰρ ἐστὶ τῇ γῇ, ἥτις ἐστὶ σφαιροδής[1]).

Ἱμονιά[2]. παρὰ τὸν ἱμάντα. οὕτως Ἡρωδιανὸς ἐν τῇ Ὀρθογραφίᾳ.

Ἰτέα[3]). παρὰ τὸ ἰέναι. ταχέως γὰρ αὔξεται.

Ἵμερος. παρὰ τὸ ἵημι καὶ ἵεσθαι. ἵετο γὰρ βαλέειν[4]).

---

incepς quoque legendum est παρὰ τὸ θεῶ. Vide notam *Sylburgii* ad Etymologici dictum locum (p. 806. edit. Lips.), quocum consentit Etymologicon MS. Bibliothecae Regiae. Larcher.

82) Ἱερὸν ἦμαρ] Scribendum est Ἱερὸν ἦμαρ. Vid. Etymol. M. p. 425, 31.

83) μεσεμβρίας] Hoc loco et paulo post male scriptum est pro μεσημβρίας, quod recte legitur in Etymol. M. l. l.

84) ἠνίον] Corrige ἰνίον. Vid. *Eustath.* in *Homeri* Iliad. *A.* p. 216, 37. et Etymolog. M. p. 423, 27. Larcher.

85) παρὰ τὸ ἵζω, οὗ παράγωγον ἰζάνω.] Hic locus mutilus est. Nam si ita scripsisset *Orion*, omisisset, quomodo ἰδνωθεὶς dedoceretur ab ἵζω. Lacunam sarcire potes ex Etymologico M. p. 423, 38. cum quo facit Etymologicon MS. Biblioth. Reg. Larcher.

86) μεμοιραμένοι] Magis mihi placet μεμορημένοι, quod habet Etymol. M. p. 429, 1. Nam μορῆσαι ibidem p. 555, 11. explicatur verbo κακοπαθῆσαι. et p. 529, 31. μορεῖν τὸ πονεῖν. Sed μεμοιραμένοι sunt *sortiti*, et hoc verbum non construi cum περὶ potest.

87) παρὰ τὸ μόρον] Necessario scribendum est παρὰ τὸ μόρος, vel παρὰ τὸν μόρον, vt in Etymologico M. p. 429, 1. legitur. Nam τὸ μόρον non huc pertinet.

88) Ἰκρία] Passim commemorat *Homerus*, vt Iliad. *O.* 685.

ὣς Αἴας ἐπὶ πολλὰ θοάων ἴκρια νηῶν
φοίτα.

Nam ἴκρια ibi scribitur. Larcher.

89) ἀξυστίς τις οὖσα] Scribe ἀξυΐς τις οὖσα. Vid. Etymol. M. p. 428, 6. Larcher.

90) Ἴσθιον] Lege: Ἴσθμιον. Ita omnia bene procedent. Vid. Etymolog. M. p. 433, 31. *Homerus* Odyss. *Σ.* 299 et 300.

ἐκ δ' ἄρα Πεισάνδροιο Πολυκτορίδαο ἄνακτος
ἴσθμιον ἤνεικεν θεράπων, περικαλλὲς ἄγαλμα.

vbi vide *Scholia*. Larcher.

91) Ἰήϊος] *Aristarchus* scribi iussit Ἰήϊος. Vid. Etymolog. M. p. 426, 53.

92) τὴν ἕησιν] Fortasse legendum est τὴν ἵησιν. Nam in Etymologico M. p. 419. 54. reperitur: ἀπὸ τῆς ἱήσεως, ὅ ἐστιν ἀφέσεως, τῶν βελῶν. Larcher. Ita etiam ibidem p. 426, 54.

93) ἤϊε Φοῖβε] Apud *Homerum* Il. *O.* 365. et alibi.

94) αὐτὸς] Legi debet ὁ αὐτός, vt recte editum est in Etymologico M. p. 426, 51. Conf. paulo post in Ἶσις.

95) ἐκτεῦθεν] Scribendum est ἐντεῦθεν. nisi aliud vitium latet.

96) Οὐ γὰρ ἔτι etc.] Est versus *Homeri* Odyss. *Λ.* 218. Larcher.

97) εἰλοῦσθαι] Reponendum est εἰλεῖσθαι. Vid. Etymol. M. p. 428, 28.

98) θάλασσαν ἔχων] His verbis praemittendum videtur nomen τόπος, vt reperitur in Etymologico M. p. 433, 28. Larcher.

99) κατ' ἀντίφρασιν τὰ ἀνίσχυρα] Etymol. M. p. 435, 13. κατ' εὐφημισμὸν, τὰ ἀσθενῆ, καὶ οὐκ ἰσχυρά. Etymologicon MS. Biblioth. Regiae: κατ' ἀντίφρασιν σημαίνει τὰ ἀσθενῆ καὶ οὐ τὰ ἰσχυρά. Respicit autem glossa *Homerum* Iliad. *E.* 556.

τὼ μὲν ἄρ' ἁρπάζοντε βόας καὶ ἴφια μῆλα.

ad quem locum *Scholiastes*: κατ' εὐφημισμὸν, ἀσθενῆ. vbi non minus quam in Etymol. M. l. l. legendum est κατ' ἀντίφρασιν. Larcher.

100) παρὰ τὴν ἰνὸς γενικὴν παρωνύμως] Etymologicon M. p. 427, 23. ἀπὸ τοῦ ἴς ἰνὸς γίνεται παρώνυμον ἶνις· δύναμις γὰρ εἰσὶ τῶν πατέρων οἱ υἱοὶ, καὶ τῶν υἱῶν οἱ πατέρες. Larcher.

1) σφαιροδής] Scribe σφαιροειδής. Ita etiam est in Etymologico M. p. 432, 50.

2) Ἱμονιά] Scribitur per ω̄ apud *Moschopulum* περὶ Σχεδῶν pag. 16. lin. 27. et in Etymologico MS. Biblioth. Regiae; rectius tamen per ο̄, vt probat *Aristophanes* in Eccles. 351. vbi corripitur:

ἀλλὰ σὺ μὲν ἱμονιάν τιν' ἀποπατεῖς.

Arcadius, Grammaticus ineditus, apud *Hesychii* interpretes Tom. II. p. 51. not. 5. (p. 99, 15. nuperr. edit. *Barkeri*, quae prodiit Lips. ap. Gerh. Fleisch. *Meyn.*) dicit vsurpari eo sensu, quo ἀντλητήριον, *vas ad hauriendum*. Etymologicon MS. Biblioth. Reg. Ἱμωνία. σημαίνει δὲ τὸ δέρμα, εἰς ὃ ἀντλοῦμεν τὸ ὕδωρ. Larcher.

3) Ἰτέα, *salix*. Larcher.

4) ἵετο γὰρ βαλέειν] Sunt verba *Homeri* Il. *Π.* 583. et 866. Larcher.

Digitized by Google

ὑποθῶν[5]) γὰρ ἵεται ἐπὶ τὸν ποθούμενον. οὕτως Ἡρωδιανός.

Ἵππος. παρὰ τὸ ἵππω, καὶ ἰάπτω, ὡς κόπτω κόπος, καὶ ἵπτω ἵππος. ἐστὶ δὲ εἶδος παστίγος[6]). οὕτως Ἡρωδιανός.

Ἴλη[7]). τὸ πλῆθος· παρὰ τὸ ὁμοῦ εἱλεῖσθαι.

Ἰκμάς[8]). παρὰ τὸ ἱκνεῖσθαι ἄνωθεν πρὸς ἡμᾶς. ἀπὸ τοῦ Διὸς ὕοντος. οὕτως Ἡρωδιανός.

Ἶρις[*]). ἡ θεός· παρὰ τὸ εἴρειν καὶ λέγειν· ἄγγελος γὰρ ἡ θεός.

Ἴον· τὸ ἄνθος· παρὰ τὸ ἀνιέναι ταχύ.

Ἶνες. τὰ νεῦρα· παρὰ τὸ ἕω ῥῆμα τὸ ὑπάρχω. ῥηματικὸν ὄνομα ἶνις. καὶ θέω θίνη, ῥήσσω ῥήξω ῥηγμίν. αἱ δὲ ἶνες, τῷ εἶναι[9]) καὶ συνεστάναι παρέχουσι τῷ σώματι.

Ἰξός. ἵκω ἵξω, ἵξομαι ἰξός. ὁ Φθάνων μέχρις ὧν Φθάνωσι[10]) τίπων τὰ πτηνά· ἀντὶ τοῦ ἔνθα ἱκνοῦνται. ὁ δὲ Ἡρωδιανός, ἀξός τις φησὶν εἶναι παρὰ τὸ ἀξεῖν τὰ ὄρνεα[11]).

Ἰάλλω. παρὰ τὸ ἴω παράγωγον. ἰάλλω, οἷον ἰέναι ποιῶ.

Ἰσχάδες παρὰ τὸ ἴσχω, καὶ παράγωγον[12]) ἰσχνῶ, ἰσχνάδες· καὶ ἀποβολῇ τοῦ ν, ἰσχάδες· τὰ λεπυθέντα[13]) σῦκα ἐν τῷ ξηραίνεσθαι.

Ἱστία. παρὰ τὸ ἵζω. ἡ δὲ ἑστία παρὰ τὸ ἕζω. τὸ δὲ ἵζω ὁ μέλλων ἵσω· καὶ ῥηματικὸν ὄνομα ἱστὸς καὶ ἱστία. οὕτω Φιλόξενος ἐν τῷ περὶ τῆς Ἰλιάδος διαλέκτῳ[14]).

Ἴτης. ὁ ἐπὶ πάντα ὁρμῶν· παρὰ τὸ ἰέναι. ἀπὸ τούτου ἰσητήρια[15]).

Ἰχθύς. παρὰ τὸ ἰθύειν[16]).

Ἰλύς. δηλοῖ ὑπόστασιν ὕδατος, εἰς ταὐτὸ συναχθεῖσαν εἴλησιν καὶ σύνοδον.

Ἰωκή. παρὰ τὸ διωκὴ καὶ διωγμός· ἀπὸ τοῦ διώκω, ἀποβολῇ τοῦ δ, ἰωκὴ καὶ ἰωχμός[17]).

Ἰήϊος. ὅτε μὲν ἐπὶ τοῦ Ἀπόλλωνος, δασύνεται. Ὅμηρος[18])· ὥς ῥα σὺ ἤιε Φοῖβε. παρὰ τὴν ἕσιν τῶν μελῶν[19]). ἐπὶ δὲ τοῦ θρήνου, ψιλοῦται· Σοφοκλῆς Οἰδίποδι[20])· οὔτε γὰρ ἔκγονα κλυτᾶς χθονὸς αὔξεται οὔτε τόκοισιν ἰηίων καμάτων· τῶν θρηνητικῶν.

Ἴδρις. εἴδω ἐστὶ ῥῆμα, οὗ ὁ μέλλων εἴσω καὶ εἴσομαι. τοῦ[21]) εἴδω καὶ εἴσω ὄνομα εἶδις. ἀποβολῇ τοῦ ε, ἴδις, καὶ πλεονασμῷ τοῦ ρ, ἴδρις.

---

5) ὑποθῶν quid sit, cum ignarissimis nescio. Fortasse legendum est ἐπόθει, vt sit glossema Homerici ἵετο, et deinde, ἵεται γὰρ ἐπὶ τὸν ποθούμενον, vel potius, ὁ ἐπιθυμῶν γὰρ ἵεται ἐπὶ τὸν ποθούμενον. LARCHER. Mihi multo simplicius atque adeo verius videtur, vt pro ὑποθῶν scribatur ὁ ποθῶν.

6) Ἵππος. παρὰ τὸ ἵππω —— εἶδος παστίγος] Primo conspectu emendabam: Ἵππος. παρὰ τὸ ἵπτω καὶ ἰάπτω —— εἶδος πλάστιγγος. Hesychius vocabulum ἵππος nomine μάστιξ interpretatur. Sed πλάστιγξ est scutica, et legitur in Aeschyli Choeph. vers. 288. Sed re melius pensitata, glossam totam refingendam esse arbitror sic: Ἶπος. παρὰ τὸ ἵπτω καὶ ἰάπτω, ὡς κόπτω κόπος καὶ ἵπτω ἶπος. ἔστι δὲ εἶδος παγίδος. Vide Etymologicon M. p. 429, 26. Hac occasione data emendabo locum Etymologici M. modo indicatum, qui in menda cubat: σημαίνει τὴν παγίδα τῶν μυῶν, καὶ τὸ πρωιτόριον. Pro hoc enim vltimo legendum puto πρεσσόριον. Glossae veteres Labbaei: „ἶπος, pressurium." Hanc correctionem praeripuit acutissimi Brunckii solertia ad Aristophanis Plutum pag. 268. Hinc reponendum apud Aeschylum Prometh. 365. ἰπούμενος ῥίζαισιν, et apud Pindarum Olymp. IV. 11. ἶπον ἑκατογκεφάλα, vt optime coniecerunt viri eruditi Frid. Gedike ad Pindari Carmina selecta, et Christ. God. Schütz ad Aeschyli dictum locum. Conf. Toup. Emendatt. in Hesych. Tom. III. pag. 365. LARCHER. Bentleium potius vel Hemsterhusium nominare debebat Larcherus, quam Brunckium.

7) Ἴλη κ. τ. λ.] Optime Eustathius ad Homeri Il. B. pag. 279. lin. 22. πρωτότυπον αὐτοῦ (τοῦ ἰλαδὸν) ἡ ἴλη, ὃ σημαίνει τὴν τάξιν. καὶ πάλαι μὲν καὶ ἡ ἴλη καὶ τὸ ἰλαδὸν, διὰ τῆς ει διφθόγγου εἶχε τὴν ἄρχουσαν, ὡς ἀπὸ τοῦ εἰλῶ τὸ συστρέφω. ἐξ οὗ τότε καὶ τὸ πίδειλον. ὕστερον δὲ οὐχ οὕτως, ἀλλ' ἐν τῷ ι ἡ γραφή. Apposite auctor Etymologici M. p. 597, 51. Πέδιλα, τὰ ὑποδήματα· παρὰ τὸ περιειλεῖσθαι αὐτὰ τοῖς ποσίν· ἢ παρὰ τὸ ἐν τῷ πέδῳ εἱλεῖσθαι. LARCHER.

8) Ἰκμάς] Vid. Homer. Il. P. 392. et Herodot. III. 125. LARCHER.

*) Ἶρις κ. τ. λ.] Excerpta ex Orione p. 614, 14. habent hanc glossam: Ἶρις, ἡ νεφελώδης ζώνη· παρὰ τὸ ἐρεῖν· καὶ σημαίνει χειμῶνα. Suspicor vtramque ab Orione profectam, sed ab aliis librariis aliter truncatam fuisse.

9) παρὰ τὸ ἕω —— καὶ θέω θίνη] Pro θίνη lege θίν. Vult enim Orion vocem ἶνες deriuari ab ἕω, vt θὶν deriuatur a θέω curro. Conf. Etymol. M. in voc. Θὶς p. 410, 16. Paulo post, pro τῷ εἶναι, legendum puto τοῦ εἶναι. LARCHER. Scilicet legendum videtur δύναμιν τοῦ εἶναι. Sed rectius fortasse legas τὸ εἶναι.

10) μέχρις ὧν φθάνωσι] Cum Etymologico M. p. 428, 3. scribendum est μέχρις ὧν ἂν φθάνωσι. LARCHER.

11) ὁ δὲ Ἡρωδιανός, ἀξός τις φησὶν εἶναι παρὰ τὸ ἀξεῖν τὰ ὄρνεα] Etymol. M. p. 428, 1. ἀξός τις ὤν· παρὰ τὸ ἄγειν τὰ ὄρνεα. Etymologicon MS. Biblioth. Regiae: Ἰξός· Ἡρωδιανὸς παρὰ τὸ ἄξειν τὰ ὄρνεα. LARCHER. Conf. Excerpta ex Orione p. 614, 22.

12) καὶ παράγωγον] Corrige οὗ παράγωγον. Vide supra in Ἰσχνός. LARCHER.

13) τὰ λεπυθέντα] Lege τὰ λεπτυνθέντα. Vid. Etymolog. M. p. 434, 17. LARCHER.

14) περὶ τῆς Ἰλιάδος διαλέκτῳ] Emenda: περὶ τῆς Ἰάδος διαλέκτου. Vid. Koen. praefat. ad Gregor. de Dialectis pag. XVII edit. Schaefer. Idem Koenius in praecedentibus bene exhibet τοῦ δὲ ἵζω ὁ μέλλων ἵσω, non τὸ δὲ ἵζω.

15) ἰσητήρια] Legendum omnino est εἰσιτήρια. Vid. Etymolog. M. p. 455, 39. vbi male laudatur Ὧρος pro Ὠρίων. Voce εἰσιτήρια vsus est Demosthenes de Falsa Legatione p. 179. ad quem locum Taylori nota est consulenda. Confer Suidam in voce. LARCHER.

16) Ἰχθύς· παρὰ τὸ ἰθύειν] Etymologicon MS. Biblioth. Regiae: Ἰχθύς· παρὰ τὸ ἰθύειν ἰθύς· ἰθύς τις ὤν· καὶ πλεονασμῷ τοῦ χ, ἰχθύς. LARCHER. Etiam in Excerptis ex Orione p. 614, 21. post ἰθύειν additur: πλεονασμῷ τοῦ χ, ἰχθύς.

17) ἰωχμός] Vide supra Ἰωχμός.

18) Versus Homeri Iliad. O. 365. sic legendus est: ὥς ῥα σύ, ἤιε Φοῖβε. Confer ibi Scholiasten et Eustathium p. 1020, 17. LARCHER. Conf. supra Ἰήϊος.

19) τῶν μελῶν] Lege τῶν βελῶν. In veteribus Codicibus literae β et μ iisdem fere ductibus exaratae sunt. In Aldina Sophoclis editione legitur: τὴν ἀφ' ἡλίου μολῶν, ex qua in omnes alias, praeter Iuntinam, irrepsit μόλων, vbi legendum erat βολῶν. Primus hanc mendam profligauit acutissimus Brunck, quem vide ad Euripidis Orestem vers. 1263. et ad Aiacem Sophoclis vers. 877. LARCHER. Conf. Bast. ad Gregor. de Dialectis p. 708. edit. Schaefer.

20) Versus Sophoclis sunt in Oedipo priore vers. 171 sqq. et sic legendi atque ordinandi:

οὔτε γὰρ
ἔκγονα κλυτᾶς χθονὸς
αὔξεται, οὔτε τόκοισιν
ἰηίων καμάτων ἀνέχουσι γυναῖκες.

ad quem locum vide Scholiastam veterem, et notam Brunckii, et in eius Lexico Sophocleo vocabulum ἰήϊος. LARCHER. Nimirum τῶν θρηνητικῶν ab Orione adiectum est ad interpretandum nomen ἰηίων.

21) τοῦ εἴδω] Legerim ἀπὸ τούτου τοῦ εἴδω. Editi autem in his vbique spiritum lenem pro aspero.

Digitized by Google

Ἰξάλου κιγός[22]). παρὰ τὸ[23]) ἴξω μέλλοντα. πολλάκις δὲ τὰ παράγωγα ἀλλάσσει τὸ πνεῦμα, καὶ ἀπὸ δασέος γίνεται ψιλόν. οὕτως ἴκω, ἴξω, ἴξαλος. οἷον αἷμα[24]) δασύνεται, ἄμυδις δὲ ψιλοῦται, ἱδρὼς δασύνεται[25]). οὕτω Φιλόξενος ἐν τῷ περὶ Ἀναδιπλασιασμοῦ.

Ἰδάλιμος. ἴδος. τούτου παράγωγον ἴδιμος. προθέσει[26]) τοῦ αλ ἰδάλιμος. οὕτω Φιλόξενος.

Ἰωή[27]). παρὰ τὸ ἴω ἰωή, ἡ διήκουσα εἰς ἀκοήν.

Ἶσος. παρὰ τὸ εἴδω τὸ ὁμοιῶ, οὗ μέλλων εἴσω. ῥηματικὸν ὄνομα ἶσος, κατὰ ἀποβολὴν τοῦ ε.

ΑΡΧΗ ΤΟΥ Κ.

Κάλχας. παρὰ τὸ καλχαίνειν[28]), ὅ ἐστι κατὰ βάθος μεριμνᾷν· καὶ κάλχη, ἡ πορφύρα· ὅθεν παρ' αὐτὴν τὸ πορφύρειν τὸ μεριμνᾷν.

Κρήγυον. τροπῇ τοῦ δ εἰς γ, ὡς γνόφος δνόφος· οἷον κηρυδόν τι ὄν· τοδῦνον τὸ κέαρ[29]).

Καρπός. ἀπὸ τοῦ κεκάρφθαι τὸ ἐξηράνθαι καρπὸς λέγεται· καρφός τις ὤν.

Κρῆτες. παρὰ τὸ ἐπὶ κράεσι[30]) βιοτεύειν. κυνηγητικοὶ[31]) γάρ. Ἀπολλόδωρος καὶ ἐν Ἐτυμολογίαις παρὰ τὸ εὖ κεκρᾶσθαι τὸν περὶ τὴν νῆσον[32]) ἀέρα.

Κονίσαλος. ἡ σεσαλευμένη κόνις. τίλος κίλος[33]).

Κτίλος[34]). κίλος[35]) παρὰ τὸ κίειν, ὅ ἐστι πορεύεσθαι.

Κατήφεια. ἀπὸ τοῦ κάτω τὰ φάη βάλλειν τοὺς λυπουμένους.

Κύπελλον. κύφελλόν τι ὄν.

Κενεών. ὁ κατὰ τὴν λαγόνα[36]) τόπος, παρὰ τὸ κενὸν τῶν ὀστέων[37]). καὶ λαπάρα διὰ τοῦτο[38])· λαπάξαι γὰρ τὸ κενῶσαι.

Κάπη. εἴρηται ἡ καταπνεομένη ὑπὸ τοῦ ἄσθματος τῶν ἵππων.

Κερδαίνειν. παρὰ τὸ κέαρ ἰαίνειν.

Κυθέρεια. παρὰ τὸ χεῖν τοὺς ἔρωτας· ἢ παρὰ τὸ χύδην θέρειν καὶ φλέγειν τῷ πάθει· οἱ δὲ παρὰ τὸ κεύθειν, κρυφίαν τινὰ οὖσαν κατὰ τὴν μίξιν. Ἡσίοδος δὲ ἀπὸ Κυθήρων[39])· ἀτὰρ Κυθέρειαν, ὅτι προσέκυρσε Κυθήροις.

Κνώδαλα. καταχρηστικῶς καὶ τὰ χερσαῖα τὰ ὑπὸ κυνῶν ἁλισκόμενα[40]).

Κόλοψ[41]). ὁ ἐκ τῶν τραχήλου δερμάτων γινόμενος πασσαλίσκος[42]), περὶ ὃν δεσμοῦσι τὴν νευράν. κόλλοπας δὲ τὰ μέρη ἐκεῖνα καλοῦσιν· ἐπειδὴ ἐξ αὐτῶν ἐγίνετο κόλλα.

Κεντρηνεκές. παρὰ τὸ συνεχῶς κεντρίζεσθαι.

Καγχαλᾶν. διπλασιασμός, καὶ πλεονασμῷ τοῦ γ, ὡς χῶ, χαλῶ, καὶ καχαλῶ, καγχαλῶ. παρὰ τὸ ἐν χαλάσματι εἶναι τὴν ψυχὴν χαίρουσαν. ἐξ γ. τὸ ἐναντίον ἐν τῇ λύπῃ συνεστάλθαι[43]). ἔνθεν τὸ ἄχεσθαι, παρὰ τὸ μὴ διαχεῖσθαι.

Κεραιοc. Ἀπολλόδωρος τὴν κεκαυμένην ἔραν, τουτέστι τὴν γῆν.

Καρδία. παρὰ τὸ κράτος. ἡ ἡγεμονικωτάτη.

Κόλποι. παρὰ τὴν κοιλότητα εἴρηνται.

Κοτυλήρυτον[44]). τὸ δύνασθαι τῷ κοίλῳ τῆς χειρὸς ἀρύεσθαι.

Κοχῶναι[45]). οἷον χῶναι. διὰ τὸ φέρεσθαι δι' αὐτῶν τὰ παρέχοντα τὴν ἔκχυσιν τῶν περιττωμάτων.

Κῶπα[46]). παρὰ τὸ σκάπτειν τὸ ὕδωρ.

Κείρειν. παρὰ τὸ αἴρειν καὶ ἀποκόπτειν τὸ κέρας[47]), τουτέστι τὴν τρίχα. ἐπὶ[48]) τῶν ὀφθαλμῶν ἡ κόρη, οὐ-

22) Ἰξάλου αἰγός] Sunt verba *Homeri* Iliad. *Δ.* 105. Larcher.

23) παρὰ τὸ] Lege παρὰ τὸν, quia sequitur *μέλλοντα*. Larcher.

24) αἷμα] Legendum est ἅμα. Vid. supra Ἄμυδις, et Etymol. M. p. 428, 49.

25) ἱδρὼς δασύνεται] Manca haec videntur esse. Fortassis *Orion* primo attulit exemplum spiritus asperi in lenem mutati, et deinde spiritus lenis in asperum transeuntis. Quemadmodum igitur ex ἅμα fit ἄμυδις, ita ἱδρὼς ex ἴδος. Vid. Etymol. M. p. 422, 39. Fieri tamen potest, vt vana sit haec mea coniectura. Certe in Excerptis ex *Orione* p. 614, 21. haec leguntur: Ἱδρὼς παρὰ τὸ ἴω ἰδῶς, καὶ πλεονασμῷ τοῦ ρ, ἱδρώς.

26) προθέσει] Mallem ἐπενθέσει.

27) Ἰωή] Vid. supra voc. Ἰωή.

28) παρὰ τὸ καλχαίνειν] *Sophocles* Antig. 20.

δηλοῖς γάρ τι καλχαίνουσ' ἔπος.

ad quem locum adi veterem *Scholiasten*. Larcher.

29) τοδῦνον τὸ κέαρ] Lege τὸ ἥδυνον τὸ κέαρ. Vid. Etymol. M. p. 487, 28. Larcher.

30) ἐπὶ κράεσι] Emendandum est ἐπὶ κέρασι. Et sic diserte legitur in Etymologico M. p. 487, 54. Larcher.

31) κυνηγητικοὶ] Mallem κυνηγετικοί, quod etiam est in Etymologico M. p. 487, 54.

32) τὴν νῆσον] Ita scripsi pro τὸν νῆσον.

33) τίλος κίλος] Haec pertinent ad glossam sequentem. Larcher. In Excerptis ex *Orione* p. 614, 27. legitur: Κονίσαλος, ἐκ τοῦ κόνιν σαλεύεσθαι.

34) Κτίλος] Optime sic hoc loco scriptum est. Sed τίλος, quod legitur in glossa praecedente, nihil ad rem. Larcher.

35) κίλος] Reponendum est κριός, *aries*, *dux gregis*. Nam κίλος est vox nihili. Larcher. Vid. infra in voc. Κωτίλος.

36) τὴν λαγόνα] Scribe τὸν λαγόνα. Atque sic legitur in Etymologico M. p. 456, 28.

37) παρὰ τὸ κενὸν τῶν ὀστέων] Lege παρὰ τὸ κενὸν εἶναι τῶν ὀστέων, ex Etymologico M. p. 456, 29. vbi tamen male κενός editur. Optime *Scholiastes Homeri* ad Iliad. *E.* 284. παρὰ τὸ κενὸν αὐτὸν εἶναι ὀστέων. Larcher.

38) διὰ τοῦτο] Legendum est διὰ τοῦτό. Larcher.

39) *Hesiodi* locus est in Theogonia vers. 198. Larcher.

40) Integriorem glossam vide in Etymologico M. p. 473, 38. Larcher.

41) Κόλοψ] Scribendum est duobus λλ, Κόλλοψ. Larcher.

42) πασσαλίσκος] *fidium canticiolus* (immo *ponticulus*. St.), vulgo *chevalet*. Larcher.

43) συνεστάλθαι] Scribendum quis putet συνεστάλθαι, vt est in Etymologico M. p. 458, 47. Sed non est necesse.

44) Κοτυλήρυτον] Est vox Homerica, de qua vide *Scholiasten* ad Iliad. Ψ. 34. (vbi κοτυλήρυτον editur) et *Eustathium* p. 1282, 44 et 46. Larcher.

45) Κοχῶναι] Vide *Hesychium* et ibi interpretes T. II. p. 335. not. 6. In vulgatis editionibus *Aristophanis* Equitt. 484. efferebatur neutro genere ante *Brunckium*, sed vir celeberrimus e MSS. correxit εἰς κοχώνας. Larcher.

46) Κῶπα] Legendum est κώπη. Apud *Suidam* κῶπα reperitur, sed ibi significat *monile*. Larcher.

47) τὸ κέρας, τουτέστι τὴν τρίχα] Etymol. M. p. 457. extr. κέρας γὰρ οἱ παλαιοὶ καὶ τὴν τρίχα ἐκάλουν. *Homerus* Iliad. *Λ.* 385. κέρα ἀγλαέ, παρθενοπῖπα. Larcher.

48) ἐπὶ τῶν ὀφθαλμῶν κ. τ. λ.] Haec pertinent ad aliam

Digitized by Google

τω χόρη· ἀπὸ τοῦ δι᾽ αὐτῆς χεῖσθαι τὸ ὁρατικὸν πνεῦμα. κόρη δὲ[49]) καὶ γὰρ ὑγροφυὴς καὶ τρυφερὰ ἡ κόρη. ἀπὸ τοῦ κορεῖν, ὅ ἐστι καλλωπίζειν, τὸν ὀφθαλμόν. καὶ κόρη ἡ παρθένος, ἡ καθαρὰν καὶ ἄφθορον ἔχουσα τὴν ἡλικίαν.

Κυψέλη, τὸ κοῖλον τοῦ ὠτίου. διὰ τὸ κοῖλον, καὶ κῦφον, καὶ κογχοειδές, καὶ τοῖς ἀγγείοις ἐοικέναι. ὁ κυψελίτης[50]) ῥύπος, ὁ ἐν τῷ ὠτίῳ φυόμενος. Φιλόξενος.

Κεφαλή. ἥτις καρφαλή ἐστι*). παρὰ τὸ κάρφεσθαι, ὅ ἐστι ξηραίνεσθαι. ξηρὰ γὰρ καὶ ὀστώδης αὐτή[51]) κατὰ Ἀπολλόδωρον.

Κελύφη[52]) ἐστὶ παρὰ τὸ σκέπειν καὶ καλύπτειν τὸν ἐγκέφαλον. τινὲς δὲ κατὰ πλεονασμὸν τοῦ λ, κεφαή τις οὖσα, ἐν ᾗ κεῖνται τὰ φάη. ἄλλοι δὲ ἀπὸ τῆς κυφότητος. τὸ γὰρ περιφερὲς, κυφὸν λέγεται. ἀφ᾽ οὗ καὶ κύμβιον, τὸ περιφερὲς ποτήριον. ἤτοι κυφίδιον καὶ ἀμφικύπελλον, τὸ περίκυφον ἔκπωμα.

Κάρα. ἀπὸ τοῦ τετριχῶσθαι[53]).

Κράτα. τὴν κεφαλήν. ἀπὸ τοῦ κράτος[54]), ὡς ἐνταῦθα τοῦ ἡγεμονικοῦ τυγχάνοντος· παρὰ τὸ κραίνειν καὶ βασιλεύειν τοῦ ὅλου σώματος[55]). ὅθεν κρανίον καὶ κέρατα, τὰ ἐκ τοῦ κρανίου φυόμενα. Σωρανός.

Κώδια[56]). ἀπὸ τοῦ τοὺς γενομένους αὐτῆς καματώδεις[57]) φιλεῖν ποιεῖν. ὅθεν καὶ κώδιον, ἐφ᾽ ᾧ[58]) κοιμώμεθα.

Κορυφή. τὸ μέσον τῆς κεφαλῆς. ὅτι τοῦ[59]) κέρατος ὀροφή. οἱ δὲ ἀπὸ τοῦ κεκρύφθαι ὑπὸ τῆς τριχός. κρυφὴ καὶ κορυφή.

Κιονίς. ἥτις λέγεται καὶ γαργαρεὼν παρὰ τῷ Ἱπποκράτει[60]), διὰ τὸν γινόμενον περὶ αὐτὸν ἦχον ἐν τῷ γαργαλίζεσθαι[61]). οἱ δὲ σταφυλὴν, ἀπὸ τοῦ συνεχῶς καταστάζεσθαι. ἢ ἀπὸ τοῦ τὸ ἄκρον αὐτῆς φαίνεσθαι ὅμοιον ῥαγί. κιονὶς δὲ ἤτοι παρὰ τὴν χύσιν τῶν ὑγρῶν. ἢ παρὰ τὸ κίονος ἔχειν τύπον καθ᾽ ἑαυτὴν οὖσαν ἐπιμήκη. οὕτω Σωρανός.

Κωφός. παρὰ τὸ ἐκκεκόφθαι καὶ ἀφαιρεῖσθαι τὴν ὄπα ἐν τῷ ἀκούειν. καὶ ἐπὶ τοῦ ἀλάλου τὸ αὐτό[62]).

Κριθή. ἀπὸ τοῦ ἀποκεκρίφθαι[63]) τῶν ἀκροδρύων. ἀκρόδρυα γὰρ ἤσθιον πρὸ τῶν καρπῶν.

Κριός. Ἡρωδιανός οὕτω ἐν τῇ Ὀρθογραφίᾳ· κέρα[64]) κέριος, συγκοπῇ κριός.

Κρίβανος. παρὰ τὸ κρῖ καὶ τὸ βαῦνος ὄνομα. ἐν ᾧ αὔουσι καὶ φρύγουσιν ἢ κριθὴν[65]) κρίμνον.

Κλοιός*). παρὰ τὸ κλείω. περικλείει γὰρ περιτιθέμενος.

Καταπροίξεσθαι. ἀπὸ τῆς προικὸς, ἣν διαιροῦντες Ἴωνες προῖκα λέγουσιν. ὥσπερ οὖν ἡ προὶξ δωρεὰ δίδοται[66]), οὕτω φησίν[67]), Οὐ δωρεάν μου καταγνώσεταί τις[68])· ἀλλ᾽ ἀποδώσει μισθὸν ὧν ἔπραξε. καὶ ὁ ἐπαίτης ὁ προῖκα αἰτῶν, προίτης[69]).

---

glossam. Fortassis ex Etymologico M. p. 484, 4. legendum est: *Κορὰ καὶ κουρὰ, ἀπὸ τοῦ κείρω κέκαρμαι. ἐπὶ δὲ τῶν ὀφθαλμῶν ἡ κόρη. οἱονεὶ χόρη τις οὖσα, ἀπὸ τοῦ —— πνεῦμα.* Vide Etymol. M. p. 480, 37. LARCHER.

49) *κόρη δὲ καὶ γὰρ ὑγροφυὴς κ. τ. λ.*] Scribendum puto: *κόρη δὲ καὶ ἡ παρθένος· καὶ γὰρ ὑγροφ.* Vid. Etymol. M. p. 480, 32.

50) *ὁ κυψελίτης ῥύπος*] Sordes aurium dictae sunt *κυψελὶς* et *κυψέλαι*. Vide *Hesychium*, et *Ruhnkenium* in Auctario Emendationum ad T. II. p. 392. Conf. *Henr. Steph.* in indice Thesauri. Hinc emendandum conicio *Κυψελὶς, ὁ ῥύπος*. LARCHER.

*) *Κεφαλή. ἥτις καρφαλή ἐστι*] In Excerptis p. 614, 33. est: *Κεφαλὴ ἤτοι καρφαλή ἐστι.* Pro ἥτις et ἤτοι mallem *οἷον*.

51) *αὐτὴ κατὰ Ἀπολλόδωρον*] Librarius iunxit quae separanda erant, et separauit quae iungenda. Punctum ponendum est post *αὐτή*, et deinde legendum: *Κατὰ Ἀπολλόδωρον κελύφη ἐστὶ κ. τ. λ.* Vide Etymol. M. p. 459, 6. LARCHER.

52) *Κελύφη* non est initium nouae glossae. Vide notam praecedentem. LARCHER.

53) Vide *κείρειν* paulo superius, et Etymolog. M. p. 444, 24. LARCHER.

54) *ἀπὸ τοῦ κράτος*] Legendum est *ἀπὸ τοῦ κράτους*. Vide Etymol. M. p. 485, 3. vel *ἀπὸ τοῦ κρατός*. Nam est a *κράς*, vt vult *Choeroboscus* apud Etymol. M. p. 485, 7. LARCHER. Ego *κράτους* praetulerim. Nam *Orion* refert *Sorani* sententiam.

55) *τοῦ ὅλου σώματος*] In Etymologico M. p. 485, 5. legitur *τοῦ ἄλλου σώματος*, quod perinde est. Sed *Orionis* lectio praeferenda mihi videtur. LARCHER.

56) *Κώδια* vel *κώδεια*, *caput papaueris*. LARCHER.

57) *γενομένους αὐτῆς καματώδεις*] Cum Etymologico M. p. 498, 1. corrige *γενομένους αὐτῆς κωματώδεις*. LARCHER. Nimirum *κῶμα* est *sopor*. Vid. Etymol. M. p. 499, 5. et Etymol. Gud. p. 337, 46.

58) *ἐφ᾽ ᾧ*] Malim *ἐφ᾽ οὗ*, quanquam etiam in Etymologico Gudiano p. 337, 6. legitur *παρὰ τὸ ἐπ᾽ αὐτῷ κοιμᾶσθαι*.

59) *τοῦ κέρατος*] Lege *τοῦ κρατός*, quia *κρὰς* est *caput*. LARCHER. Excerpta ex *Orione* p. 614, 35. habent *κέρατος*.

60) *παρὰ τῷ Ἱπποκράτει*] Vide *Hesychium* in v. *Γαργαρεὼν* et ibi interpretes T. I. p. 802, not. 21. et *Foesii* Oeconom. Hippocratis p. 133. LARCHER.

61) *γαργαλίζεσθαι*] Legendum est *γαργαρίζεσθαι*. Nam *γαργαλίζεσθαι* est *laetitia affici*. LARCHER.

62) In priore significatione nomen *κωφὸς* acceperunt recentiores, veteres vero in altera. Vide *Herodotum* I. 34 et 47. et, si tanti est, notas 85 et 93. ad versionem Gallicam *Herodoti*. LARCHER. Pro praesente *ἀφαιρεῖσθαι*, quod etiam Etymol. M. p. 500, 1. habet, aptius videtur perfectum *ἀφῃρῆσθαι*, quod legitur in Excerptis ex *Orione* p. 614, 36.

63) *ἀποκεκρίφθαι*] Forsan legendum est *προκεκρίφθαι*. Vide Etymolog. M. in v. *κριθή* p. 488, 20. LARCHER.

64) *κέρα*] Legendum est *κέρας* cum auctore Etymologici M. p. 488, 17. in v. *Κριός*, qui damnat hanc etymologiam. Nam secundum eum deberet esse *κεραῖος*, non *κριός*, vt fit *κνεφαῖος* a *κνέφας*, et *οὐδαῖος* ab *οὖδας*. Sed parum sibi constat, quippe in voce *κειρία* p. 460, 15. dicens, vocem *κειρία* venire a *κέρας*, ὃ *σημαίνει τὴν τρίχα*. LARCHER.

65) *ἢ κριθὴν κρίμνον*] Legendum est *ἢ κριθὴν ἢ κρίμνον*. Proprie *κρίμνον* est *pars crassior farinae hordeaceae*. Vid. Etymolog. M. p. 487, 14. LARCHER.

*) *Κλοιός*] Ita etiam Etymolog. M. p. 472, 7. Sed fortassis *Orion* glossam posuit *Καλιός*. Saltem in Excerptis p. 614, 37. legitur: *Καλὸς παρὰ τὸ κλείω· περικλείει γὰρ περιτιθέμενος.* vbi *Καλιὸς* scribendum est. *Schol. Aristoph.* ad Plut. 476. *Κύφων δὲ δεσμός ἐστι ξύλινος, ὃν οἱ μὲν κλοιὸν ὀνομάζουσιν, οἱ δὲ καλιόν.* vbi vid. *Hemsterhus*. Caeterum *περιτιθέμενος* rectius videtur, quam *παρατιθέμενος* Etymologici Magni.

66) *δωρεά*] Legendum est *δωρεὰν* cum Etymologico M. p. 419, 33. et *δωρεὰν* aduerbialiter sumendum, et subaudiendum *κατά*. LARCHER.

67) *φησίν*] Videtur nomen *Ἀρχίλοχος* deesse. In Etymologico M. p. 419, 34. legitur *φασίν*.

68) *Οὐ δωρεάν μου καταγνώσεται*] Si vera est haec lectio, quam etiam auctor Etymologici M. agnoscit, verti debet: *haud impune me contemnet*. Sed suspicor legendum esse *Οὔ μου καταπροίξεται*, *haud impune me illudet*. *Archilochus* apud *Scholiastem Aristophanis* ad Equitt. 433. *εἶ δ᾽ ἐκεῖνος οὐ καταπροίξεται.* vbi ex Etymologico M. legendum est *ἐμεῦ δ᾽ ἐκεῖνος οὐ καταπρ.* vt optime vidit *Valckenarius* ad *Herodot.* III. 36. p. 213. LARCHER.

69) *ἐπαίτης* est *mendicus*. Idem significat *προίκτης* vel *προΐκτης*, et sic pro *προίτης* legendum apud *Orionem*. LARCHER.

Καλύβη. οἷον καλύφη τὶς οὖσα.

Καλός. παρὰ τὸ καλεῖν πρὸς ἑαυτὸν ἕκαστον· ἢ παρὰ τὸ κηλεῖν. πάντες γὰρ τῷ καλῷ κηλούμεθα.

Κνίσσα. παρὰ τὸ κνισσῶ μέλλοντα. κνισμὸς γὰρ γίνεται ἀπὸ τῆς ὀσφρήσεως.

Κίων. ἀπὸ τοῦ κίειν καὶ ἰέναι*). ἢ ὅτι βέβηκέ τι ἐπ' αὐτῷ, οἷον ἐπιπορεύεται.

Κειρία. παρὰ τὸ κείρεσθαι εἰς λεπτά. ἢ παρὰ τὸ κέρας. ἐκ τριχῶν γὰρ ἐγίνοντο αἱ κειρίαι[70]).

Κολώνιον[71]). τὸ ἀνανεῦον καὶ κατανεῦον κᾶλον[72]).

Κολεόν[73]). παρὰ τὸ κεκοιλάνθαι, ἤτοι κοιλανθῆναι.

Κελαινεφής. ὁ Ζεύς. ὁ τὰ νέφη κλονῶν καὶ κινῶν, ἢ μελανοποιῶν ἐν τῷ ὕειν.

Κέαρ. παρὰ τὸ κεκρᾶσθαι ἐκ θερμοῦ καὶ ψυχροῦ ἐπίσης ἐχόντων.

Κῆρ. παρὰ τὸ δίκην κηροῦ ἀπομάττεσθαι τὰ μαθήματα.

Κέλος[74]). ὁ δρομικὸς ἵππος. κέλειν[75]) γὰρ τὸ τρέχειν. καὶ ἡ κέλευθος δὲ παρὰ τοῦτο.

Κάμηλος. καμηρός τις ἐστίν· ἀπὸ τοῦ τοὺς μηροὺς κάμπτειν ἐν τῷ καθέζεσθαι.

Κεραυνός. ἀπὸ τῶν ζώων τῶν τοῖς κέρασι διαφθειρόντων[76]). ἢ ὁ διὰ τοῦ αὔειν, ὅ ἐστι καίειν, βλάπτων.

Κόσμος, ὁ πάντα ἐν αὐτῷ[77]) κεκοσμημένα ἔχων καὶ διατεταγμένα.

Κανοῦν. τὸ ἐπάνω κείμενον τὸ καινόν[78]), ὅ ἐστι κτεῖνον. λέγω δὲ τὴν μάχαιραν. κυρίως δὲ ἀπὸ τοῦ γενομένου ἔθους ἐν ταῖς θυσίαις[79]).

Κρύος. παρὰ τὴν γενομένην κροῦσιν τῶν ἐν τῷ ψύχειν[80]), ὅπερ κρύος λέγεται.

Κολυμβᾶν. ἐτυμώτερον Δωριεῖς λέγουσι κολυφᾶν[81]). ἀπὸ τοῦ κολοὺς, ὅ ἐστι κολοβοὺς φαίνεσθαι τοὺς ἐν τῷ ὕδατι, καὶ μὴ ὁλοτελοὺς[82]). οὕτως Ἡρακλείδης.

Κλέος. παρὰ τὸ κλείειν[83]). ἐγὼ δέ σε κλείω ἐπ' ἀπείρονα γαῖαν.

Καλός. παρὰ τὸ κάζω, ῥῆμα, οὗ παρακείμενος κείρασμαι[84]), καὶ μέλλων κάσω. ἀφ' οὗ καλὸς ὄνομα. ἢ παρὰ τὸ καλῶ καὶ καλεῖν πρὸς ἑαυτὸν ἕκαστον[85]).

Κναφεύς. παρὰ τὸ κνάπτω, ὅ ἐστιν ἀπὸ τοῦ κνῶ τὸ ξύω. ξύουσι γὰρ τὴν τῶν ἀκνάπτων*) ἱματίων κροκίδα.

Κλῆρος. κλῶ ἐστὶ ῥῆμα μονοσύλλαβον, ἀπὸ τοῦ καλῶ συγκοπέν· οὗ μέλλων κλήσω. ὄνομα κλῆρος· ὁ καλῶν ἐφ' ἑαυτὸν τὸν λαχόντα. ὁ δὲ Ἡρωδιανὸς ἐν Ἐπιμερισμοῖς παρὰ τὸ κᾶλον τὸ ξύλον· ἐπεὶ ἐν ξύλοις ἐχαράττοντο οἱ κλῆροι.

Κρωσσόν. παρὰ τὸ κρῶ τὸ ἐπιχέω· γενόμενον ἀπὸ τοῦ χέω κερῶ[86]), κατὰ συγκοπήν. σημαίνει δὲ ὑδρίαν ἤ τι ἄγγος εἰς τὸ ἐπιχεῖν ὕδωρ.

Κλείω κλείσω κλεινός.

Κῶμα. κοιμῶ κοιμήσω κοίμημα· συγκοπῇ κοῖμα· τροπῇ τῆς οι εἰς ω, κῶμα.

Κόπος. παρὰ τὸ κέω, οὗ παθητικὸν κέομαι.

Κορμός. παρὰ τὸ κείρω[87]).

Κλαίω. παράγωγον συγκοπὲν ἐκ τοῦ καλῶ. ἐπικαλοῦνται γὰρ τοὺς ἀποθανόντας οἱ κλαίοντες.

Κῆλον. παρὰ τὸν κήσω μέλλοντα[88]) τὸ καύσω, καὶ πλεονασμῷ τοῦ ε. Ὅμηρος[89]), περὶ κηλέῳ. παρὰ δὲ τὸν αὐτὸν κήσω μέλλοντα, ἀφ' οὗ κῆλον[90]). αὖα πάλαι, περίκηλα, τά οἱ πλώοιεν ἐλαφρῶς. τὰ περικεκαυμένα ἐκ τοῦ ἡλίου ξηρά.

Κήλη[91]) καὶ κάλη. παρὰ τὸ κῆλον καὶ κᾶλον. ἐπὶ τοῦ ξηροῦ περὶ τὰ μέρη γὰρ ἐκεῖνα[92]), εἰς ὄγκον ἐπιδέδωκε τοῦ συνήθους μείζονα. οὕτω Φιλόξενος ἐν τῷ περὶ Μονοσυλλάβων ῥημάτων.

---

*) *κίειν καὶ ἰέναι*] Adde *εἰς ὕψος*, quae verba addita reperiuntur in Excerptis p. 614, 39.

70) *αἱ κειρίαι*] Vide supra *κείρειν*. Larcher.

71) *Κολώνιον*] Lege *Καλώνειον*, vel potius *Κηλώνειον*. Vid. Etymolog. M. p. 463, 48. quod inde emendabis. Larcher.

72) *κᾶλον*] significat *lignum*. Hinc *κηλώνειον* est *tolleno*, machina hauriendae aquae. Larcher.

73) *Κολεόν*] Corrige *Κολεός*. Larcher.

74) *Κέλος*] Lege *Κέλης*. Larcher.

75) *κέλειν*] Lege *κέλλειν*. Optime Etymol. M. p. 455, 40. *ὁ δὲ Ὠρίων λέγει, ὅτι κέλης λέγεται παρὰ τὸ κέλλειν, ὃ σημαίνει τὸ βαδίζειν καὶ τρέχειν.* [Sic *Zonaras* in Lexico p. 1185. *ὁ δὲ Ὠρίων λέγει, ὅτι παρὰ τὸ κέλλειν, τὸ τρέχειν.* St.] Conf. *Schol. Homeri* ad Iliad. *O.* 679 et *Spanhem.* ad *Callimachi* Hymn. in Delum vers. 113. Hac data occasione mendam eluam, quae in omnibus Etymologici M. insidet editionibus, p. 456, 44. *ἔστι δὲ (κέλης) εἶδος πλοίου λῃστρικοῦ, ὃ ἔστι γαλέα.* Scribe *ὃ ἔστι γαλέα* vel *γαλαία*. Vide *Cangium* in Glossario mediae et infimae Graecitatis p. 235. Larcher.

76) Confer Etymolog. M. p. 457, 39 sq. Larcher.

77) *ἐν αὐτῷ*] Scribendum est *ἐν αὑτῷ*. In Etymologico M. p. 482, 11. legitur *ἐν ἑαυτῷ*.

78) *τὸ ἐπάνω κείμενον τὸ καινὸν*] Legendum puto *τὸ ἔχον* (vel *τὸ ἔχον ἐπάνω*) *κείμενον τὸ καινόν*.

79) *Euripides* Iphig. in Aulide vers. 1565.

Κάλχας δ' ὁ μάντις εἰς κανοῦν χρυσήλατον
ἔθηκεν ὀξὺ χειρὶ φάσγανον.

Conf. *Schol. Euripid.* ad Orest. 195. et Etymolog. M. p. 443, 9 sqq. Larcher.

80) *τῶν ἐν τῷ ψύχει*] Lege *τῶν ὀδόντων ἐν τῷ ψύχει*. Vid. Etymol. M. p. 498, 50. Larcher. In Excerptis ex *Orione* p. 614. 40. legitur *Κρύος, παρὰ τὴν κροῦσιν τῶν ὀδόντων. τοῦτο γὰρ σημαίνει ὁ* (lege *τὸ*) *κρύος*.

81) *κολυφᾶν*] Lege *κολυμφᾶν*. Vid. Etymol. M. p. 476, 2. Larcher.

82) *ὁλοτελοὺς*] Lege *ὁλοτελεῖς*, ut recte legitur in Etymologico M. p. 477, 4. Larcher.

83) *ἐγὼ δέ σε κλείω κ. τ. λ.*] Est versus *Homeri*, qui extat Odyss. *P.* 418. et sic legendus: *ἐγὼ δ' ἄν σε κλείω κ. τ. λ.* Larcher.

84) *κείρασμαι*] Corrige *κέκασμαι*. Larcher.

85) Confer supra *Καλός*. Larcher.

*) *τῶν ἀκνάπτων*] Excerpta ex *Orione* p. 614, 44. dant *τῶν νέων*.

86) *ἀπὸ τοῦ χέω κερῶ*] Legendum videtur *ἀπὸ τοῦ κερῶ χέω*. Sturz. Lucem praebebit Etymologicum MS. Bibliothecae Regiae: *Κρωσσός· ὑδρία, ἤτοι ἄγγος ἄλλο εἰς τὸ ἐπιχεῖν ὕδωρ. παρὰ τὸ κρώω τὸ ἐπιχέω· τοῦτο δὲ γέγονε παρὰ τὸ κερῶ. κατὰ συγκοπὴν κρῶ. οἷον, Κέρασσε δὲ νέκταρ·* (quae sunt verba *Homeri* Odyss. *E.* 93.) *ἀντὶ τοῦ ἐπέχεεν. οὐ γὰρ ὕδατι κιρνᾶται τὸ νέκταρ. καὶ παρ' Αἰσχύλῳ νεοκρᾶ αἱ σπονδαὶ λέγονται, τουτέστι αἱ νεωστὶ ἐκχυθεῖσαι.* Locus *Aeschyli* est Choeph. 342. Vide *Pollucem* VI. 24. p. 578 et *Hesych.* in v. *Νεοκρᾶς* ibique interpretes T. II. p. 668, not. 20. Larcher.

87) Etymolog. M. p. 128, 26. *ἄρω ἄρμενος, ἁρμός, ὡς κείρω κορμός.* Conf. ibidem p. 619, 15. Larcher.

88) *παρὰ τὸν κήσω μέλλοντα τὸ καύσω*] Deest *δηλοῦντα*, ut sit *παρὰ τὸν κήσω μέλλοντα, δηλοῦντα τὸ καύσω*. Vid. Etymolog. M. p. 462, 26. et p. 463, 52. Larcher.

89) *Ὅμηρος*] Locus est Iliad. *Θ.* 217. Larcher.

90) *Αὖα* —— *ἐλαφρῶς*] Est versus *Homeri* Odyss. *E.* 240. Larcher.

91) *Κήλη* est *tumor scroti*. Larcher.

92) *παρὰ τὸ κῆλον καὶ κᾶλον. ἐπὶ τοῦ ξηροῦ περὶ τὰ μέρη γὰρ ἐκεῖνα*] Haec corrupta sic emenda: *παρὰ τὸ κῆλον καὶ κᾶλον, ὅ ἐστι ξύλον καὶ σκληρόν· ἐπεὶ τὰ μέρη ἐκεῖνα κ. τ. λ.* Vide Etymolog. M. p. 463, 41. Larcher.

Digitized by Google

Κώμη. παρὰ τὸ κῶ ῥῆμα, οὗ μέλλων κώσω[93]). δηλοῖ δὲ τὸ κοιμᾶσθαι.

Καταχήνη. ἡ κόσμητις[94]). χαίνω χήνη καταχήνη.

Καλαρύζω. καρίζω, καλαρίζω[95]).

Κλαγγή. κρῶ, παράγωγον κράζω, ῥηματικὸν ὄνομα κραγή, καὶ πλεονασμῷ τοῦ υ, κραυγή. μετάθεσις τοῦ ρ εἰς λ, κλαγή, καὶ πλεονασμῷ τοῦ γ, κλαγγή.

Κρούω. κρῶ ἐστι ῥῆμα, παράγωγον κρύω, πλεονασμῷ τοῦ ο, κρούω, ὡς ὄρω ὀρύω ὀρούω.

Κλύω. παρὰ τὸ κλῶ τὸ φωνῶ, πλεονασμῷ τοῦ υ, κλύω.

Κολῳός. Ὅμηρος. παρὰ τὸ κλῶ, ῥηματικὸν ὄνομα κλῳός, ὡς σῶ σῶος, καὶ πλεονασμῷ τοῦ ο, κολῳός. ἀφ᾽ οὗ γίνεται ῥῆμα κολῳῶ. Θερσίτης δὲ μοῦνος ἀμετροεπὴς ἐκολῴα[96]).

Κεδνός. κοῶ τὸ νοῶ. ὁ μέλλων κοήσω. ῥηματικὸν[97]) κοεδνὸς, συγκοπῇ κεδνὸς, ὡς τέρπω τερπνός.

Καρκίνος. παρὰ τὸ κάρη κινεῖν συνεχῶς.

Καρίς[98]). παρὰ τὸ σκαίρειν, σκαρίς τις οὖσα.

Κνώσσω. ἔστιν οὖν παρὰ τὸ κενοῦσθαι τὸ βλέπειν. στερίσκονται γὰρ τοῦ βλέπειν οἱ κοιμώμενοι.

Κτύπος. πλεονασμῷ τοῦ κ, τύπος τις ὤν. τὰ γὰρ τυπτόμενα ψοφεῖ.

Καῦρος. ὁ κοῦφος[99]) πλεονασμῷ τοῦ κ, αὖρός τις ὤν. τὸν γὰρ κατὰ νοῦν ἐλαφρὸν, καῦρον ἐπονομάζουσι. βέλτιον δὲ διὰ τοῦ γ, γαῦρος, παρὰ τὸ ἀπὸ γῆς αἴρεσθαι, ὁ ἐπηρμένος.

Κωφός. παρὰ τὸ ἐγκεκόφθαι τὴν ὄπαν[100]), κεκοπός τις ὤν, ὁ μήτε φθεγγόμενος, μήτε ἀκούων[1].

Κορύβαντες. κατὰ πλεονασμὸν τοῦ ο, κρύβαντές τινες ὄντες, ἀπὸ τοῦ κρύπτειν τὸν Δία, ὡς μυθεύεται.

Κάθαρμα. οἷον ἀποκαθάρισμα ὄν.

Κρησφύγετα. φρούρια, καταφύγια, ἐν οἷς ἐκρύπτοντο οἱ νησιῶται τὸν Μίνοα[2]) φεύγοντες. τὸ οὖν κρησφύγετον ἔλεγον τὸ χρήσιμον[3]) τοῖς φεύγουσιν εἰς ἀσφάλειαν.

Κηώεις. ἐπὶ θαλάμου. παρὰ τὸ κέω τὸ κοιμῶμαι· Ὄρσο κέων, ὦ ξεῖνε[4]). κεώεις οὖν θάλαμος καὶ κηώεις, ὁ εἰς τὸ κοιμᾶσθαι εἰργασμένος. οὕτω Φιλόξενος ἐν τῷ περὶ Μονοσυλλάβων ῥημάτων.

Κλώψ. καὶ κλῶπα τὸν λῃστήν. παρὰ τὸν κλέψω μέλλοντα κλέψ καὶ κλόψ, καὶ ἐκτάσει τοῦ ο εἰς ω, κλώψ· ὡς βλέπω βλέψ βλόψ βλώψ. ὅθεν παραβλῶπες[5]) τῶν ὀφθαλμῶν.

Κονιορτός. παρὰ τὸ ὄρω[6]) ῥῆμα, ὄρσω, ὀρτός· καὶ συνθέτως κονιορτὸς, ὁ τὴν κόνιν ὀρούων καὶ ὁρμῶν, ὡς σπείρω σπαρτός.

Κοντὸς, παρὰ τὸ κεντῶ ῥῆμα, κοντός· ὡς τρέφω τροφός.

Κωτίλος. πλεονασμός ἐστι τοῦ ω. κτίλος γὰρ ἦν, ὁ κριός· ὅπερ καταστρέφει εἰς τὸν πρᾶον. πρέπεται γὰρ τῇ πραότητι· τὸ κολακεύειν[7]).

Κλαίω· παρὰ τὸ κλῶ, οὗ παράγωγον κλαίω. κλᾶται γὰρ ἡ τῶν ἀνθρώπων φωνὴ ἐν τῷ τοῦτο πάσχειν· ἢ καὶ ἡ ψυχὴ ἐστὶν ἡ τὸ κλᾶσθαι παρέχουσα.

Κλίνω. παράγωγόν ἐστι τοῦ κλῶ. κλάσιν γὰρ ὥσπερ λαμβάνει τῆς ὀρθότητος στερισκόμενα τὰ κλινόμενα. κατ᾽ ἔνδειαν τοῦ μ. ὡς καλύπτω καλύψω[8]).

Κόλαξ. παρὰ τὸ κολλᾶσθαι· κόλλα τις ὤν καὶ κατὰ τὸ ἐναντίον δύσκολος εἴρηται, ὁ δυσχερῶς τινὶ κολλώμενος.

Κύμβια· τὰ κοῦφα ἐκπώματα.

Κύμβαλα· οἷον κύφαλά τινα ὄντα[9])· κατὰ συγγένειαν τοῦ φ πρὸς τὸ β. καὶ κατὰ πλεονασμὸν τοῦ μ.

Καπῆλον πηλὸν λέγουσι τὸν οἶνον Ἴωνες. τὸν ἀναπάλλοντα τὴν κεφαλὴν[10]) βλάπτειν καὶ τὰς φρένας καὶ οὐκ ἐῶντα ἑδραίας εἶναι.

Κόρυς· τη[11]). παρὰ τὸ κάρη. ἢ τὸ κάρηνον ἀποκοπῇ τοῦ[12]) κάρυς τις ἐστί. καὶ κόρυς. τροπῇ τοῦ α εἰς ο.

Κροσσοί[13])· κορσοί τινὲς ὄντες· κατὰ μετάθεσιν τοῦ ο. παρὰ τὴν κόρσην, τὴν κεφαλὴν, ἀπὸ τῶν πλοκάμων.

---

93) *κώσω*] Hinc corrige Etymologicon M. p. 499, 55. vbi male *κάσω* editum est. LARCHER.

94) *ἡ κόσμησις*] Legendum est *ἡ γάσμησις*. Vid. Etymolog. M. p. 449, 47. *Aristophanes* Eccles. 631. *δημοτική γ᾽ ἡ γνώμη, καὶ καταχήνη τῶν σεμνοτέρων ἔσται πολλή.* vbi *Scholiastes* nomen *καταχήνη* interpretatur nomine *καταγέλως*. LARCHER.

95) *καρίζω, καλαρίζω*] Fortassis legendum est *λαρύζω, καλαρύζω*. Nam apud *Hesychium* reperitur *λαρύζει*. LARCHER.

96) *Θερσίτης κ. τ. λ.*] Est versus *Homeri* Iliad. *B.* 212. et sic legendus:

Θερσίτης δ᾽ ἔτι μοῦνος ἀμετροεπὴς ἐκολῴα.

LARCHER.

97) *ῥηματικὸν*] Lego *ῥηματικὸν ὄνομα*. LARCHER.

98) *Καρίς* est *squilla*, piscis magnum caput habens. LARCHER.

99) *κοῦφος*] *ταῖς φρεσὶ* adde cum Etymologico M. p. 417, 53. LARCHER.

100) *τὴν ὄπαν*] Scribe *τὴν ὄπα*. LARCHER. Videtur librarius (vel *Orion*, si mavis, ipse) sui saeculi morem secutus. Sic in Codice Versionis Graecae V. T. Alexandrino legitur *αἶγαν, ἀκρίδαν, γυναῖκαν, φρέναν, χεῖραν*, et alia multa. Vid. quae collegi in libro de Dialecto Macedon. et Alexandrina p. 127. et 128. Add. *Reisk.* ad *Constantin. Porphyrog.* de Cerimoniis Aulae Byzantinae p. 80.

1) Vide etiam supra *Κωφὸς*, et ibi not. 62. LARCHER.

2) *Μίνοα*] Corrige *Μίνωα*. LARCHER.

3) *τὸ χρήσιμον*] Adde *σπήλαιον* cum Etymologico M. p. 487. 4. LARCHER.

4) *Ὄρσο —— ξεῖνε*] Sunt verba *Homeri* Odyss. *H.* 342. Eadem laudat auctor Etymologici M. p. 464, 30. sed verbum *ὄρσο* male explicat *διεγερθείς*. Significat *surge*. LARCHER.

5) *παραβλῶπες τῶν ὀφθαλμῶν*] Haec petita sunt ex *Homeri* Iliad. *I.* 499. (503.) vbi sic leguntur in vulgatis editionibus: *παραβλῶπές τ᾽ ὀφθαλμώ*. *Orionis* vero lectionem affert *Eustathius*, et addit vulgatam, p. 768, 5. Vide etiam Etymolog. M. p. 591, 42. LARCHER. Nimirum *τῶν* debetur *Orioni*, qui articulo addito videtur significare voluisse, sibi genitiuum *ὀφθαλμῶν* probari.

6) *ὄρω*] In Codice male legitur *ὀρῶ*. LARCHER.

7) *ὅπερ καταστρέφει εἰς τὸν πρᾶον*] Fortasse melius legas *ὅσπερ* (nempe *ὁ κριὸς*) *καταστρέφει εἰς τὸ πρᾶον*, vt *καταστρέφει* sit *inclinat*. quanquam ne hoc quidem satis mihi placet. Videtur etiam *ἔπεται* scribendum pro *πρέπεται*, et colon, quod est post *πραότητι*, delendum.

8) *κατ᾽ ἔνδειαν κ. τ. λ.* vsque ad *καλύψω*] Haec omnia putabam aliunde huc illata. Certe ab hoc loco aliena sunt.

9) *Κύμβαλα· οἷον κύφαλά τινα ὄντα*] Deest aliquid. Lego cum Etymologico M. p. 494, 33. *Κύμβαλα· παρὰ τὸ κύφος, οἷον κύφαλά τινα ὄντα.* LARCHER.

10) *τὴν κεφαλὴν βλάπτειν*] Comma ponendum est post *κεφαλὴν*, ac deinde legendum *ὥστε βλάπτειν*. LARCHER.

11) *τη*] Cum Etymologico M. p. 482, 36. fortasse legendum est *ἡ περικεφαλαία*. LARCHER.

12) *ἀποκοπῇ τοῦ*] Vel post *τοῦ* deest aliquid, vel *τοῦ*, quod malim, est tollendum. LARCHER.

13) *Κροσσοί*] Vide Etymologicum M. p. 490, 26 et sq. LARCHER

Digitized by Google

Κόσμος· τροπῇ τοῦ ᾱ εἰς ō. παρὰ τὸ κάζω ῥῆμα· ὅθεν κέκασμαι, κέκατται, κεκασμένος ὄνομα ῥηματικὸν κασμός, καὶ μεταθέσει τοῦ ᾱ εἰς ο, καὶ ἐναλλαγῇ τοῦ τόνου, κόσμος. ἐπὶ δὲ τοῦ παντὸς εἴρηται· ὁ ἐν αὐτῷ[14]) πάντα ἔχων κεκοσμημένα· οὕτω Φιλόξενος ἐν τῇ περὶ Ἰάδος διαλέκτῳ[15]).

Κουράλια· παρὰ τὴν ἅλα· ὁ ἀπὸ τῆς θαλάσσης ταῖς κόραις κόσμος.

Κάμινος· παρὰ τὸ ὑπομένειν[16]).

Κίκυς· ἡ ἰσχύς. παρὰ τὸ κίειν, ὅ ἐστι πορεύεσθαι καὶ ὁρμᾶν.

Κίβησις[17])· ἢ παρὰ τὸ κίειν, ὅ ἐστι πορεύεσθαι καὶ ὁρμᾶν, ἢ παρὰ τὸ κεῖσθαι ἐν αὐτῇ τὴν βῆσιν[18]), ἥ ἐστι τροφή.

Κάγκανα[19]). ξηρὰ εἰς καῦσιν ἐπιτήδεια ξύλα, παρὰ τὸ καίω, ῥηματικὸν ὄνομα κανόν. ὥστε καὶ ὡς τέκανον καὶ συγκοπῇ τέκνον, οὕτω καὶ ὠκάνοι· καὶ ἀναδιπλασιασμὸς κάκανον, καὶ πλεονάσαντος τοῦ γ̄, κάγκανον.

Καπνός. κάπω τὸ πνέω. παράγωγον καπύσω. καπνὸς οὖν ὁ ἀποπνέων τὸ πῦρ, ὡς στίλβω στιλπνός. ἔνθεν πολλάκις φησὶ[20]) πυρὸς ἀτμὸν τὸν καπνόν.

Καρχαρόδων[21]). παρὰ τὸ χαράσσω. ὁ κεχαρασμένους[22]) ἔχων τοὺς ὀδόντας, οἷον ἐξυμμένους[23]).

Κλαστήρ. παρὰ τὸ κλάσθαι, οὗ ὁ μέλλων κλάσω, κλαστήρ, ὡς λάμψω λαμπτήρ.

Καννάβη. ἐπὶ θηλυκοῦ. ἀπὸ τοῦ κάπτω δηλοῦν[24]) τὸ κοιλαίνω. κάβη τὸ ῥηματικὸν ὄνομα. καὶ ἀναδιπλασιασμὸς κακάβη, καὶ πλεονασμῷ τοῦ ν̄, κανκάβη, σκεῦος ὃ πρὸς ἕψησιν ἐπιτήδειον.

Κάνναβος ἐπὶ ἀρσενικοῦ[25]).

Κόχλος. παρὰ τὸ χαλῶ, καὶ συγκοπῇ. χλῶ. τὸ κατὰ εἴλησιν χαλώμενον[26]). ὄνομα χλός, καὶ κατὰ ἀναδιπλασιασμὸν κόχλος.

Κραιπνός. παρὰ τὸ κάπω τὸ πνέω· ὅθεν κάπος τὸ πνεῦμα. καὶ καπνός. καὶ πλεονάσαντος τοῦ ρ̄, καπνὸς[27]) ἐλέχθη, καὶ μεταθέσει τοῦ ρ̄, καὶ προσθέσει τοῦ ῑ, κραιπνός.

Κοάλεμος. παρὰ τὸ κοῶ[28]) ῥῆμα, τὸ νοῶ. κοῶ οὖν κόεμος. ὡς ἔχω ἔχεμος παράγωγον, καὶ τοῦ αλ πλεονασμοῦ[29]), κοάλεμος, εἴρηται ὁ μωρός. οἱ δὲ, παρὰ τὸ κοεῖν καὶ τὸ ἄλεμα[30]), τὸ μάταιον.

Κυρκάνη. ἡ ταραχὴ, ὁ βόρβορος[31]). εἴρηται παρὰ τοῖς παλαιοῖς. κυῶ[32]) ῥῆμα κυκάνω. πλεονασμὸς[33]) κυρκάνη. οὕτω Φιλόξενος.

Κορυθαίολος. αἰόλλω ῥῆμα τὸ κινῶ. καὶ ἀπὸ τοῦ αἰόλλω αἰόλος. καὶ σύνθετον κορυθαίολος, ὡς πάλλω σακέσπαλος.

Καλλιγύναικα. ἀπὸ τῆς καλλιγύναιξ εὐθείας. ὅθεν ἀποβολῇ τοῦ ξ ἐπὶ τῆς κλητικῆς, ὦ γύναι, ὡς ἄναξ ἄνα· Ζεὺς[34]) ἄνα Δωδωναῖε.

Κομιδή. κομίζω. κομιδὴ, ἐπιμέλεια.

Κονία. παρὰ τὸ κονῶ κονία, ἧ ἔγκειται ἡ κόνις· κόνιος κονία, ὡς Κύπρις, Κύπριος Κυπρία. Ἡρωδιανὸς ἐν Ἐπιμερισμῷ[35]).

Κῦμα. κύω, κυήσω, κύημα, καὶ συγκοπῇ κῦμα. οἱ δὲ παρὰ τὸ κυκῶ, κυκήσω, κύκημα καὶ κῦμα.

Κνίσσα. παρὰ τὸ κνίσσω μέλλοντα[36]). Κνισμὸς γὰρ τῆς ψυχῆς ἡ ὀσμή.

---

14) ἐν αὐτῷ] Etiam hoc loco, vt supra in v. Κόσμος, scribe αὐτῷ.

15) ἐν τῇ περὶ Ἰάδος διαλέκτῳ] Legi debet ἐν τῷ περὶ Ἰάδος διαλέκτου.

16) Ex Etymologico M. p. 442, 8. supple καιομένην. LARCHER. Recte, id quod etiam Excerpta p. 611, 46. docent, quamvis corrupte scripta: Κάμινος, ἡ καιομένη μαίνουσα.

17) Κίβησις] Sic scriptum reperitur etiam apud Suidam. Sed scribendum est Κίβισις. Vide Hesychium et ibi interpretes, Etymologicum M. p. 465, 54. Callimachi Fragm. 177, ibique Bentleium. LARCHER.

18) τὴν βῆσιν] Corrigo τὴν βόσιν. Nempe pera dicta est κίβισις, quod in illa reponatur βόσις, id est, τροφή. LARCHER.

19) Κάγκανα. ξηρὰ εἰς καῦσιν ἐπιτήδεια κ. τ. λ.] Tota glossa ex Etymol. M. p. 437, 51. et Etymologico MS. Biblioth. Regiae ita refingenda est: Κάγκανα· ξηρὰ καὶ εἰς καῦσιν ἐπιτήδεια ξύλα· παρὰ τὸ καίνειν τὸ κόπτειν. συγκοπῇ, καὶ πλεονασμῷ τοῦ γ̄. ἢ ὥσπερ παρὰ τὸ τέκω γίνεται τέκανον, καὶ συγκοπῇ τέκνον, οὕτω καὶ παρὰ τὸ καίω γίνεται ῥηματικὸν ὄνομα κάνον· καὶ ἀναδιπλασιασμῷ, κάκανον, καὶ πλεονάσαντος τοῦ γ̄, κάγκανον. LARCHER.

20) φησὶ] nempe Homerus. Nuspiam tamen apud eum legitur ἀτμός, sed saepe ἀϋτμή. Atque sic reperitur in Etymologico M. p. 444, 51. ἔνθεν πολλάκις φησὶ πυρὸς ἀϋτμὴν τὸν καπνόν. LARCHER. Sic supra in v. Καταπροΐξεσθαι post φησὶν omissum videtur Ἀρχίλοχος.

21) Καρχαρόδων] Scribendum est Καρχαρόδους.

22) κεχαρασμένους] Lege κεχαραγμένους. LARCHER.

23) ἐξυμμένους] Corrige ἀξυμμένους. Nam in Etymologico M. p. 497, 8. reperitur τοὺς ἀπωξυμμένους. LARCHER.

24) ἀπὸ τοῦ κάπτω δηλοῦν τὸ κοιλαίνω] Scribe ἀπὸ τοῦ κάπτω, δηλοῦντος τὸ κοιλαίνω. LARCHER.

25) Κάνναβος ἐπὶ ἀρσενικοῦ] Primo conspectu existimabam Orionem dixisse, vocem κάνναβος esse masculini generis, eoque magis, quod sic efferatur a Latinis auctoribus. Sed re melius pensitata, puto glossam hanc mutilam esse, et Etymologici M. auctorem p. 440, 1 sqq. Orionis scrinia compilasse, auctoris nomine dissimulato. Hoc certo certius patebit ex Etymologico MS. Biblioth. Reg. in quo haec leguntur: Κανκάβη· σκεῦος πρὸς ἕψησιν ἐπιτήδειον· παρὰ τὸ κάπτω ῥῆμα τὸ δηλοῦν τὸ κοιλαίνω. ἀφ' οὗ ῥηματικὸν ὄνομα κάβη, καὶ κατὰ ἀναδιπλασιασμὸν τοῦ κ̄, κάκκαβος. ἀναλογώτερον δὲ θέλουσι λέγειν ἡ κάκκαβος θηλυκῶς. τὸ γὰρ ἀρσενικὸν παντελῶς ἀδόκιμον. οὕτως Ὠρίων. Emenda igitur: Κάκκαβος ἐπὶ ἀρσενικοῦ, παντελῶς ἀδόκιμον. Vide Nunnesium ad Phrynichi Eclogas p. 189. et Piersonum ad Moerida p. 206. LARCHER.

26) χαλώμενον] κάτω additur in Etymologico M. p. 484, 50. LARCHER.

27) καπνὸς] Legendum esse καρπνός, per se patet. Accedit Etymolog. M. p. 486, 13. τοῦτο κατὰ πλεονασμὸν τοῦ ρ̄, γίνεται καρπνός. LARCHER.

28) κοῶ est verbum Ionicum. Vide Suidam in v. Ἐκόησεν, et Bentleium ad Callimachi Fragm. LIII. LARCHER.

29) πλεονασμοῦ] Legendum est πλεονασμῷ. Conf. paulo post not. 33.

30) ἄλεμα] Lege ἠλέματον ex Etymol. M. p. 475, 26. Confer Suidam in Κοάλεμος et Aristophanis Scholiasten ad Equitt. 198. LARCHER.

31) ὁ βόρβορος] Optime. Nam κυρκανῶ, Hesychio teste, est κυκῶ, ταράσσω. Et Suidas κυρκανᾶν exponit ταράσσειν, κινεῖν. Hinc corrigendum est Etymologicon M. p. 497, 43. vbi legendum ἡ ταραχὴ καὶ ὁ βόρβορος, pro ὁ θόρυβος. LARCHER.

32) κυῶ] Legendum est κυκῶ. Vid. Etymolog. M. p. 497, 46. LARCHER.

33) πλεονασμὸς κυρκάνη] Corrige κυκάνη, καὶ πλεονασμῷ τοῦ ρ̄, κυρκάνη. Vid. Etymolog. M. p. 497, 44. LARCHER.

34) Ζεὺς] Lege Ζεῦ. Est pars versus Homeri Iliad. Π, 233. LARCHER.

35) ἐν Ἐπιμερισμῷ] Mallem, quod vsitatius est, ἐν Ἐπιμερισμοῖς. Sed vtrumque reperitur. Vid. Harles. ad Fabricii Biblioth. Graec. Vol. VI, p. 282. et 283.

36) παρὰ τὸ κνίσσω μέλλοντα] Scribe παρὰ τὸν κνίσω μέλλοντα. Dicitur κνίσσα et κνίσα. Et κνίσα quidem deducitur a futuro κνίσω verbi κνίζω. LARCHER.

Digitized by Google

Κρατερός. κράτος κρατερός.

Κάραβος[37]. παρὰ τὸ βαίνειν ἐπὶ τῆς κεφαλῆς προηκούσης[38]) τῷ ἐδάφει. οὕτως Ἡρωδιανὸς ἐν τῷ Συμποσίῳ.

Κοίρανος. ὁ τοῦ καιροῦ κύριος, οἷον καίρανός τις ὤν, μεταθέσει τοῦ ᾱ εἰς ō, ὡς παρὰ τὸ ἀθρεῖν τὸ βλέπειν Ὄθρυς τὸ ὄρος, ἀφ' οὗ ἐστιν ἀθρεῖν τὰ μακρὰν ἀφεστηκότα. καὶ παρὰ τὴν ἀρχὴν, ἄρχαμος καὶ ὄρχαμος. οὕτως Ἡρωδιανὸς καὶ Ἀπολλώνιος ἐν τῇ Μετοχῇ.

Κάλλιμος. εἴρηται κατὰ παραγωγήν. ἡ δὲ διὰ τοῦ ιμος παραγωγὴ διὰ τριῶν γενῶν γίνεται, οἷον σπείρω σπόριμος σπορίμη, ἀγωγὴ ἀγώγιμος, κῦδος κύδιμος, οὕτω κάλλος κάλλιμος· καὶ παρὰ ῥῆμα, προσδοκῶ προσδόκιμος, θηράω θηρέσιμος[39]).

Κουρά. παρὰ τὸ κείρω, κορὰ, καὶ πλεονασμῷ τοῦ ῡ, κουρά.

Κακός, ἐπὶ τοῦ πονηροῦ. παρὰ τὸ χάζω τὸ ὑποχωρῶ*), ἀφ' οὗ δεῖ χάζεσθαι.

Κακὸς, ἐπὶ τοῦ δειλοῦ. παρὰ τὸ χάζω χάζομαι. χακὸς καὶ κακὸς, κατὰ μετάθεσιν τοῦ χ̄ εἰς κ̄.

Κηδεστής. κῆδος κηδεστὴς, ὡς θύος Θυέστης, ὄρος Ὀρέστης, καὶ τὰ μὲν ὡς κύρια βαρύνεται, τὸ δὲ κηδεστὴς ὀξύνεται ὡς προσηγορικόν.

Κάδος. σκεῦός τι, παρὰ τὸ χαδῶ ῥῆμα περισπώμενον. ἀπὸ δὲ τοῦ χαδῶ γίνεται ὁ μέλλων χαδήσω, καὶ διπλασιασμὸς ἐκάδησω[40]), ὄνομα ῥηματικὸν χάδος, καὶ τροπῇ τοῦ χ̄ εἰς κ̄, κάδος.

Κισσᾶν[41]). παρὰ τὴν κίσσαν, τὸ ὄρνεον. λειχνότατον[42]) γὰρ τοῦτο τὸ ὄρνεον.

Κόνις. κονῶ δηλοῦν τὸ διαφθεῖραι καὶ κατακόπτειν. κνὶς, ὄνομα, ἡ κατακεκομμένη γῆ, καὶ πλεονασμῷ τοῦ ō, κόνις. δηλοῖ δὲ τὴν εἰς λεπτομερῆ σύστασιν χωρήσασαν γῆν. ἀπὸ μεταφορᾶς τῶν ξυσμάτων. Ἡρωδιανός.

Κρηπὶς, ὑπόδημα. παρὰ τὸ ἕρπω ἑρπίς. ὑπερθέσει τοῦ ῤ, ῥεπὶς, καὶ πλεονασμῷ τοῦ κ̄. κρεπὶς, μεταθέσει τοῦ ē εἰς η̄. κρηπὶς, δι' ἧς ἕρπειν ἐστὶν, ὅ ἐστιν ὁδεύειν. οὕτως Ἡρωδιανός.

Καγχαλῶ· τὸ χαλῶ. τὸ διαχέω καὶ ἥδομαι. διπλασιασμὸς καχαλῶ, καὶ πλεονασμῷ τοῦ γ̄, καγχαλῶ. ὥσπερ τὸ πυκνωθὲν οὐχ ὑγιὲς, οὕτω τὸ χαλασθὲν ὑγιές· τὸ αὐτὸ καὶ ἐπὶ τῆς ψυχῆς.

Κορύβαντες. κορύφαντές τινες[43]), παρὰ τὸ κεκρύφθαι τὸν Δία ὑπ' αὐτῶν. καὶ ἐστὶ μετάθεσις τοῦ φ̄ εἰς β̄ καὶ πλεονασμῷ τοῦ ō.

Κρούειν. κυρίως ἐπὶ τῶν κερατοφορούντων. κυρίπτειν[44]) γὰρ ἐστὶν τὸ τοῖς κέρασι κρούειν. οὕτω Φιλονίδης[45]) ἐν τῷ περὶ Ἑλληνισμοῦ.

Κρίβανος. παρὰ τὴν κριθὴν καὶ τὸν βαῦνον, ὅπου αἱ κριθαὶ ἐφρύγοντο. καὶ βαῦνος ἡ κάμινος, αὔω, αὖνος, καὶ πλεονασμῷ τοῦ β. βαῦνος.

Κληΐδες. αἱ καθέδραι[46]) παρὰ τὴν κλάσιν τῶν γονάτων.

Κύμβαχον[47]). τὸ σκαμβὸν δέρμα. τὸ περιφερὲς καὶ περιαγές. κύμβη γὰρ ἡ κεφαλή. ἔνθεν τὸ κυβιστᾶν.

Κρήνη. κρῶ ἐστι ῥῆμα μονοσύλλαβον, παρὰ τὸ κερῶ συγκοπὲν, ὃ δηλοῖ τὸ ἐγχεῖν. καὶ ὡς παρὰ τὸ εἴρω εἰρήνη, οὕτω κρῶ κρήνη.

Κνυζοῦν. διαφθεῖραι. Ὅμηρος ἐν τῇ Ὀδυσσείᾳ[48])· κνυζώσω δέ τοι ὄσσε πάρος. παρὰ τὸ κνῶ οὖν κνύω καὶ κνύζω τὸ διαφθείρω. κνυζῶ γίνεται περισπώμενον τρίτης συζυγίας τῶν περισπωμένων, ὡς χρυσῶ χρυσοῖς χρυσώσω ὁ μέλλων. εἴρηται δὲ κνυζοῦν δηλοῦν τὸ ξύειν παρὰ Δωριεῦσι καὶ παρ' Ὁμήρῳ[49]), ἐπὶ δ' αἴγιον κνῆ τυρόν. ὥστε εἶναι κνῶ κνύζω. οὕτως δὲ τὸ κνύω δηλοῖ τὸ ξύω. ὥστε τὸ ξύειν τὸ κνύειν πολλάκις.

Κομψός. παρὰ τὸ κάμπτω ῥῆμα. καὶ[50]) διεστραμμένον τῇ διανοίᾳ. εἴρηται γὰρ τοῦτο τὸ ὄνομα καὶ ἐπὶ τοῦ μετρίου καὶ ἐπιεικοῦς, καὶ ἐπὶ τοῦ πανούργου. ἐπὶ δὲ τοῦ ἐπιεικοῦς, παρὰ τὸ εὐκαμπὲς, ἀπὸ τοῦ κάμπτω ῥήματος, ὁ εὐπειθὴς καὶ προσηνὴς εἴρηται. οὕτως Εἰρηναῖος ὁ Ἀττικιστὴς ἐν τῷ ᾱ[51]) στοιχείῳ.

Κέντε. τὸ ἑκατὸν καλοῦσι Ῥωμαῖοι, ἐξ οὗ κεντενάριον ὠνόμασται.

---

37) *Κάραβος*] *carabus*, est animal marinum e cancrorum genere, de quo vid. *Aristot.* Hist. Animm. IV. 2. et *Plin.* Hist. Nat. IX. 31. Larcher.

38) *προηκούσης*] Legendum est *προεχούσης* cum Etymologico M. p. 444, 30. Larcher.

39) *θηρέσιμος*] Legendum est *θηράσιμος* ex Etymologico M. p. 442, 30. Larcher.

*) *ὑποχωρῶ*] In Excerptis p. 614, 48. est *ἀναχωρῶ*.

40) *ἐκάδησω*] Legendum est *κεχαδήσω*. Apud *Phauorinum* in v. *Κάδος* reperitur: ὁ μέλλων χαδήσω, ἀφ' οὗ τὸ κεκάδησα (lege κεχαδήσω) κατὰ ἀναδιπλασιασμόν. Etymologicon MS. Biblioth. Regiae: *Κάδος· σκεῦός τι, παρὰ τὸ χαδῶ, τὸ δηλοῦν τὸ χωρῶ· ὁ μέλλων χαδήσω· ἀφ' οὗ τὸ κεχαδήσω (κεχάδηκα) κατὰ ἀναδιπλασιασμόν· χάδος καὶ κάδος, τὸ χωρητικὸν ἀγγεῖον.* Futurum istud *κεχαδήσει* legitur apud *Homerum* Odyss. φ. 155. Larcher.

41) *Κισσᾶν* est infinitiuus verbi *κισσάω*. Larcher.

42) *λειχνότατον*] Scribe *λιχνότατον*. Larcher.

43) *κορύφαντές τινες κ. τ. λ.*] Optime. Nam ἀπὸ τοῦ κρύπτω fit κρύφω, κέκρυφα, κρυφὴ, καὶ κορυφὴ, vt ait Etymologici M. auctor p. 481, 11. Sed fortasse melius *Κορύβαντες* essent tanquam *κρύβαντές τινες*, κατὰ πλεονασμὸν τοῦ ō, ἀπὸ τοῦ κρύβειν τὸν Δία, vt idem dicit p. 481, 6. Larcher.

44) *κυρίπτειν*] Lege *κορίττειν*. Larcher.

45) *Φιλονίδης*] *Φιλωνίδης* scribendum esse, neque hoc nomen a nomine *Φίλων* differre, nisi quod *Φιλωνίδης* sit patronymicum, ostendit *Koenius* Praefat. ad *Gregor.* de Dialectis p. XVIII. edit. *Schaefer.*

46) *αἱ καθέδραι κ. τ. λ.*] Corrige ex Etymolog. M. p. 470, 28. *αἱ τῶν ἐρεσσόντων καθέδραι, παρὰ τὴν κλάσιν τῶν γονάτων, ἣν ποιοῦνται οἱ καθεζόμενοι.* Larcher.

47) *Κύμβαχον· τὸ σκαμβὸν κ. τ. λ.*] Eadem reperies in veteri Lexico apud *Henr. Stephanum* in Indice Thes. Ling. Gr. pag. 1516. et in Etymologico M. p. 494, 26. Larcher.

48) *Homeri* verba Odyss. *N.* 401. sunt: *κνυζώσω δέ τοι ὄσσε, πάρος περικαλλ' ἐόντε.* *turpabo etiam tibi oculos, antea perpulchros existentes.* Larcher.

49) *παρ' Ὁμήρῳ*] Locus est Iliad. *Λ.* 638. et sic legendus: *ἐπὶ δ' αἴγειον κνῆ τυρόν.* Larcher.

50) *καὶ διεστραμμένον*] Ante haec verba omissa sunt verba *τὸ καμπύλον.* Vide Etymolog. M. p. 478, 52. Larcher.

51) *ἐν τῷ ᾱ στοιχείῳ*] Lege *ἐν τῷ π̄ στοιχείῳ.* Et sic reperitur in Etymologico M. p. 478, 55. *Irenaeus* fuit discipulus Heliodori Metrici, Grammaticus Alexandrinus, de quo vide *Suidam*, et ibi *Kusterum.* Confer *Eudociam* p. 169. Larcher.

Digitized by Google

ΑΡΧΗ ΤΟΥ Λ.

Λίσσεσθαι. παρὰ τὸ λίαν ἔζεσθαι.

Λήϊον. παρὰ το λίαν ἰέναι καὶ αὔξεσθαι, τὸ σιτοφόρον πεδίον. ὅθεν λεῖα, ἡ τῶν τετραπόδων κτῆσις ἡ νεμομένη τὰ λήϊα.

Λαγὼς καὶ λαγωὸς, παρὰ τὸ λάειν, ὅ ἐστι βλέπειν.

Λαισήϊα. παρὰ τὸ λάσιον, καὶ παρὰ τὸ ὠμαῖς βύρσαις περιβεβλῆσθαι.

Λυγαῖον, τὸ φοβερόν. οἷα λυγερόν τι ὄν. λυγαῖον δὲ τὸ σκοτεινόν. ἴσως παρὰ τὸ λύειν τὴν αὐγὴν, καὶ μὴ ἐᾶν στῆναι αὐτήν.

Λύθρος. τὸ μετὰ κονιορτοῦ αἷμα, τὸ λύματος καὶ καθάρματος δεόμενον.

Λευρόν. λεῖον καὶ πλατύ. παρὰ τὸ λίαν εὐρύ.

Λέκτρον. πλεονάζει τὸ ῥ. ἀπὸ τοῦ κατακλίνεσθαι, καὶ λήγειν εἰς αὐτό[52]).

Λόφοι. πάντα τὰ μετέωρα καὶ εἰς ὕψος ἀνέχοντα. ἀπὸ μεταφορᾶς τῶν βοῶν. λόγος γὰρ ἐπ' αὐτῶν ἀπὸ τοῦ λέγεσθαι[53]) καὶ ἐκδέρεσθαι ἀπ' αὐτῶν[54]).

Λόγχη. ἀπὸ τοῦ λοχᾶν ἐν τοῖς τοιούτοις τόποις. ὁ δὲ Φιλόξενος παρὰ τὸ λάζω ῥῆμα. εὐληπτοτέρων ἔντων τῶν δασέων. λάζω οὖν λάξω μέλλων. ὄνομα λαχμὸς, ὡς παρὰ τὸ κράζω κράξω κραγμός· τὸ δὲ[55]) γ̄ εἰς χ̄ μεταπεσόντος, λαχμός. τούτου τὸ θηλυκὸν, λόχμη[56]).

Λύσσα. παρὰ τὴν λύσιν τῶν κατὰ ψυχὴν λογισμῶν. καὶ τοῦ παλαιοῦ τῶν φρενῶν κατασπέρματος, ἢ παρὰ τὸ ἀφετοὺς[57]) εἶναι τοὺς κατεχομένους ἐξ αὐτῆς.

Λαῦρα, ἡ πλατεῖα ῥύμη, παρὰ τὸ λίαν ἔχειν αὔραν.

Λὶς, ὁ λέων. παρα τὸ λιαρόν. ἔνθερμον γὰρ τὸ ζῶον.

Λιλαίομαι. παρὰ τὸ λῶ, ὅ ἐστι θέλω, οὗ παράγωγον λαίω, διπλασιασμὸς λιλαίω.

Λῃνός. παρὰ τὸ λεαίνεσθαι πατουμένης τῆς σταφυλῆς.

Λέπαδνα. οἱ κατὰ τῶν ἱππείων στηθῶν ἱμάντες. πλεονάζει δὲ τὸ δ. ὡς γὰρ κόπτω κόπανον, οὕτω λέπω λέπανον, καὶ λέπαδνον.

Λέξασθαι. τὸ κοιμηθῆναι. παρὰ τὸ λέχριον πεσεῖν. κυρίως ἐπὶ ἀνθρώπου· καταχρηστικῶς δὲ καὶ ἐπὶ ἀλόγων.

Λίμνη. τὰ συνεστῶτα ὕδατα. παρὰ τὸ λίαν καὶ διόλου μένειν. διὸ καὶ ὁ κενος[58]), ἀκαλαρείτης ὤν. ἢ παρὰ τὸ λείβειν, ὅ ἐστι ῥεῖν.

Λογάδες. τὰ λευκὰ τῶν ὀφθαλμῶν. εἴρηται δὲ οἷον λοχάδες. ἐν αἷς αἱ κόραι λοχῶσι, καὶ οἷον λέχος εἰσὶν αὐταῖς[59]).

Λύπη. παρὰ τὸ λύειν εἰς δάκρυα τοὺς ὦπας, λυωπή τις οὖσα. ἢ διὰ τὸ λυμαίνεσθαι δι' αὐτῶν τοὺς ὦπας. οὕτω Σωρανός. ὁ δὲ Ἡρωδιανὸς φησὶ παρὰ τὸ λύω λύη καὶ λύπη.

Λοβός. τὸ κάτω τῶν ὤτων, ὡς λέγει Σωρανὸς, ἐπειδὴ μαρτυρόμενοι τινὶ, λαμβανόμεθα αὐτῶν[60]). οἱ δὲ, ὅτι λωβώμενοι τινὰς, ἀποκ.[61])

Λᾶντα τὰ μὲν[62]). παρὰ μὲν τὴν λώβην οὖν εἴρηται.

Λεοκανία[63]). ἐπειδὴ λίαν κέχηνεν, οἷον λευχανία. Ὅμηρος[64])· Λευκανίης, ἵνα τε ψυχῆς ὤκιστος ὄλεθρος. διαιρεθείσης γὰρ αὐτῆς, ὁ τῆς τροφῆς ἀφανίζεται πόρος.

Λαιὰ, ἡ ἀριστερὰ καὶ εὐώνυμος. ἀπὸ τοῦ λελιάσθαι καὶ κεχωρίσθαι τῶν πράξεων. ἀριστερὰ δὲ καὶ εὐώνυμος, ἢ κατ' ἀντίφρασιν, ἢ κατ' εὐφημισμόν.

Λιαρός. ἀποβολῇ τοῦ χ̄. χλιαρὸς γάρ. τὰ δὲ χλιαρὰ πρισηνῆ[65]). δύναται δὲ καὶ ἄλλως. λίλω τὸ λίαν θέλω. λῶ γὰρ τὸ θέλω. καὶ λιλῶ λιλαίω. καὶ λιλαίετο παρ' Ὁμήρῳ[66]). καὶ ὡς μαδῶ μαδαρὸς, πλαδῶ πλαδαρὸς, χαλῶ χαλαρὸς, λιλῶ λιαρὸς[67]), καὶ ἀποβολῇ τοῦ λ̄, λιαρός. τὰ γὰρ προσηνῆ θέλομεν.

Λακέρυζα. κρῶ, κρύζω, κρύζα ὄνομα. πλεονασμῷ τοῦ ε̄, κέρυζα[68]). μετὰ τοῦ λ̄ ἐπιτατικοῦ μορίου, λακέρυζα.

---

52) *λήγειν εἰς αὐτό*] Ita Codex habet nullo sensu. Scribe *λέγειν εἰς αὐτό*. Etymologicum MS. Biblioth. Regiae: *λέγω τὸ κοιμῶμαι. ἐξ οὗ καὶ λέχος ἡ κοίτη, καὶ λέκτρον*. Hinc emendandum est Etymologicon M. p. 508, 2. in quo idem mendum corrigendum est. LARCHER. Ne *λέγειν* quidem verum putabam, sed *λέχειν* vel *λέχεσθαι*.

53) *λόγος γὰρ —— ἀπὸ τοῦ λέγεσθαι*] Lege, vt est in Etymologico M. p. 516, 56. *λόφος γὰρ —— ἀπὸ τοῦ λέπεσθαι*. LARCHER.

54) *ἀπ' αὐτῶν*] Intellige *τῶν λόφων*. LARCHER.

55) *τὸ δὲ —— μεταπεσόντος*] Manifestum est, *τὸ* in *τοῦ* esse mutandum.

56) *τὸ θηλυκὸν, λόχμη*] Eadem in Etymologico M. p. 517, 31. reperiuntur. Sed *λόχμη* e *λαχμὸς* fieri non potest, nisi mutato ᾱ in ō. LARCHER.

57) *ἀφετοὺς*] Scribe *ἀφέτους*, ex Etymol. M. cuius auctor p. 518, 4 sqq. totum *Orionis* locum exscripsit.

58) *ὁ κενος*] Lege cum Etymologico M. p. 513, 14. *ὁ Ὠκεανός*. LARCHER.

59) *οἷον λέχος εἰσὶν αὐταῖς*] Vide *Hesychium* cum commentatoribus T. II. p. 492. not. 15. *Callimachi* Fragment. CXXXII. et ibi *Bentleium*, et Etymologicon M. p. 518, 36. vbi *λογάδες* pro *λοχάδες* legendum est. LARCHER.

60) *λαμβανόμεθα αὐτῶν*] *vellimus eas*, nempe aures. LARCHER.

61) Cum Etymologico M. p. 515, 16. lege *ἀποτέμνοντες ταῦτα τὰ μέρη*. Vide notam sequentem. LARCHER.

62) *Λᾶντα τὰ μὲν*] Fortassis haec ῥῆσις cum praecedente coniungenda est, vt sit, *οἱ δὲ, ὅτι λωβώμενοι τινὰς ἀποκλῶσι τὰ ὠτία. παρὰ μὲν κ. τ. λ.* LARCHER. Vtique coniungenda est vtraque ῥῆσις, sed sic, vt pro *ἀποκ.* *Λᾶντα τὰ μὲν* legatur *ἀποκόπτουσι ταῦτα τὰ μέρη*. Iuuat apponere nonnulla e *Scholiis Villoisonianis* ad Iliad. *B.* 242. *Λωβήσαιο. ἐκ τοῦ λωβῶ, λωβήσω. τοῦτο ἐκ τοῦ λοβός· ἀπὸ μεταφορᾶς τῶν ἠκρωτηριασμένων, ἐπειδὴ οἱ παλαιοὶ τοὺς ἔν τινι ἁμαρτήματι ἁλόντας ἐνυβρίζοντες, τὰ ἄκρα τῶν ὤτων ἀπέτεμον· ὡς καὶ ὁ Ποιητὴς πρὸς τὸν Ἶρον* (Vid. Odyss. *Σ.* 95.). *καὶ ταῦτα ὁ Ὠρίων*.

63) *Λεοκανία*] Lege *Λαυκανία*. De etymo meliora tradit *Eustathius* ad *Homerum* p. 1271, 58. Vid. *Brunck.* ad *Apollon. Rhod.* II. 192. in Appendice p. 220. LARCHER.

64) *Ὅμηρος*] Versus est Iliad. *X.* 325. qui sic, vt in *Orionis* loco, scriptus reperitur in editione Florentina, in Aldina, et apud *Plutarchum* Sympos. lib. VII. Probl. 1. sed in aliis *Homeri* editionibus *Λαυκανίης*. LARCHER.

65) *πρισηνῆ*] Lege *προσηνῆ*. Paulo post est *τὰ γὰρ προσηνῆ θέλομεν*, et in Etymologico M. p. 511, 27. *τὰ γὰρ χλιαρὰ προσηνῆ*. LARCHER. *Bastius* ad *Gregor.* de Dialectis p. 501. edit. *Schaefer.* laudans hunc locum exhibet *προσηνῆ*, nulla scripturae vitiosae mentione facta, et de vi verbi *δύναται*, quod statim sequitur, disserit. De eodem verbi *δύναται* vsu adde aliud ex *Orione* exemplum in v. *Λάβρος*.

66) *παρ' Ὁμήρῳ*] Locus est Iliad. *T.* 76. LARCHER.

67) *λιαρὸς*] Immo *λιλαρὸς* est scribendum. Nam sicut a *μαδῶ* fit *μαδαρὸς*, ita a *λιλῶ* fieri debet *λιλαρός*. LARCHER. Etiam *Bastius* l. l. ita corrigi iubet.

68) *κάρυζα. μετὰ τοῦ λ̄ ἐπιτατικοῦ*] Lege *κέρυζα. μετὰ τοῦ λα ἐπιτατικοῦ*. Est autem *λακέρυζα* epitheton cornicis. *Apollon. Rhod.* III. 929. *τῇ θαμὰ δὴ λακέρυζαι ἐπηυλίζοντο κορῶναι*. LARCHER.

Digitized by Google

Λειχὴν[69]). παρὰ τὸ λεῖον, κατ' ἀντίφρασιν. τραχύνει γὰρ τὸ σῶμα. ὡς ἀπαλοῖ δι' αὐχένος[70]).

Λειμὼν. ἔστιν ὅπου ληΐα[71]) καταβόσκεται.

Λιρός. ὁ ἀναιδής. παρὰ τὸ λίαν τινὶ προσκεῖσθαι. ἢ τὸ λίαν ὁρᾶν· ἐπεὶ ἀτενεῖς εἰσὶ τούτων αἱ ὄψεις[72]).

Λιπαρεῖν. παρὰ τὸ λίαν παρεῖναι τοὺς παρακαλοῦντας.

Λωποδύτης. ὁ ἀποδύων τὸ λῶπος, ὅ ἐστι τὸ ἱμάτιον.

Λάχανον. παρὰ τὸ λαχαίνεσθαι καὶ περισκάπτεσθαι.

Λοξίας. ὡς μὲν οἱ Πυθαγορικοὶ, ἀπὸ τοῦ λοξὴν ἔχειν τὴν ἴαν, τουτέστι τὴν φωνήν· ἢ παρὰ τὸ λοξῶς ἰέναι τὸν ἥλιον διὰ τοῦ ζωδιακοῦ. καὶ λοξίας, ὁ λοξὴν κίνησιν ποιούμενος.

Λήκιθος. παρὰ τὸ μεγάλας χωρεῖν[73]). ἡ λεῖον ἔχουσα κύτος, μεγαλόκητος[74]). Λητώ[75]). ὁ μὲν Πλάτων[76]) φησίν. πραεῖα γὰρ ἡ θεὸς τὰς[77]) ἐλεοῦσα. κατὰ δέ τινας, Ληθώ· τὸ γὰρ ἥμερον καὶ πρᾶυ, ἐκ τοῦ ἐπιλελῆσθαι τῶν εἰς αὐτὴν πεπλημμελημένων ἐμφαίνεται· ὁ δὲ Ἀρίσταρχος φησὶ, παρὰ τὸ λῆ τὸ Δώριον, ὅ ἐστι θέλει.

Λυαῖος. ἀπὸ τῆς λύσεως τοῦ ῥάμματος. προσεῤῥάφη γὰρ τῷ μηρῷ τοῦ Διός. ἢ παρὰ τὸ λύεσθαι τῷ οἴνῳ τοὺς μεθυσκομένους.

Λαιμός. παρὰ τὸ λάειν, ὅ ἐστιν ἀπολαύειν. οὕτως Ἡρακλείδης. ὁ δὲ Σωρανὸς λέγει[78]) λημᾶν λέγεσθαι τὸ ἀπολαυστικῶς βλέπειν.

Λῆρος. λήθω λήσω, λῆρος· ὡς παύω παύσω, παῦρος. ἢ ἀπὸ τοῦ ῥέειν καὶ τοῦ λαλεῖν.

Λύκος. παρὰ τὸ λεύσω*) λεῦκος· οὕτω καὶ παρὰ τὸ φυλάσσω φύλακος.

Λίβανος. παρὰ τὸ λείβω τὸ σπένδω. τὸ εἰς σπονδὰς καὶ θυσίας ἐπιτήδειον. οὕτω Φιλόξενος.

Λάβρος. παρὰ τὸ λούπτω[79]). οὕτω Φιλόξενος. δύναται καὶ παρὰ τὸ λα ἐπιτατικὸν μόριον, καὶ τὴν βορὰν, οἷον λαβαρός τις[80]) ὢν, ἵν' ᾖ κυρίως ἐπὶ τοῦ ἀδδηφαγεῖν.

Λαγώς[81]). ἔγκειται τὸ λα ἐπιτατικόν. παρὰ τοῦτο οὖν καὶ τὸ ὦς Δώριον, ὁ μεγάλα ὦτα ἔχων.

Λικριφίς. οἷον πλαγίως. παρὰ τὸ λέχριον, κατὰ μετάθεσιν τῶν στοιχείων τοῦ ε εἰς τὸ ι, καὶ τοῦ χ εἰς τὸ κ.

Λεπρός. παρὰ τὸ λέπος, λεπαρὸς, καὶ συγκοπῇ λεπρός.

Λύχνος. ὁ λύων τὸ νύχος, τουτέστι τὸ σκότος. οὕτως Ἀριστόνικος ἐν τῷ περὶ σημείων τοῦ Ὁμήρου.

Λαρύξ. ὁμοίως διὰ γὰρ τούτων[82]), τοῦ λαιμοῦ καὶ λάρυγγος, τὴν ἀπόλαυσιν ἔχομεν τῶν τροφῶν. οὕτως Ἀριστόνικος ἐν τῷ περὶ σημείων Ὀδυσσείας.

Λίπω[83]). τὸ ἐπιθυμῶ. λῶ ἐστὶ θέλω· οὗ παράγωγον λίπω[84])· ὡς παρὰ τὸ χρίω χρίπτω, καὶ πλεονασμῷ τοῦ μ, χρίμπτω. χρῶ[85]), τὸ χροὸς ἅπτεσθαι. χρῶ χραύω.

Λόγχη. λόγχας τὰς μερίδας Ἴωνες λέγουσιν[86]). Ἴων ἐν Κίου κτήσει[87]). ἐκ τῆς Τέω λόγχης[88]) λόγχας ποι-

---

69) Λεχὴν] Scribe *Λειχὴν*, *impetigo*. LARCHER. Recte. Vid. Excerpta ex *Orione* p. 614, 53.

70) ἀπαλοῖ δι' αὐχένος] Lege ἀπαλοῖο δι' αὐχένος. Ita enim legitur apud *Homerum* Iliad. P. 49. et passim. LARCHER.

71) ληΐα] Corrige λεία. Nam λεία est *praeda ab hostibus abacta*, pecorum greges et armenta. Verisimiliter alludit *Orion* ad *Sophocl.* Aiac. 141 — 147.

ὡς καὶ τῆς νῦν φθιμένης νυκτὸς
μεγάλοι θόρυβοι κατέχουσ' ἡμᾶς,
ἐπὶ δυσκλείᾳ, σὲ τὸν ἱππομανῆ
λειμῶν' ἐπιβάντ', ὀλέσαι Δαναῶν
βοτὰ καὶ λείαν,
ἥπερ δορίληπτος ἔτ' ἦν λοιπή,
κτείνοντ' αἴθωνι σιδήρῳ.

LARCHER.

72) Vid. Etymolog. M. in *Λειρόφθαλμος* p. 510, 40. et *Hesych.* in *Λειριόεντα*, ibique interpretes T. II. p. 413. 444. LARCHER.

73) Λήκιθος. παρὰ τὸ μεγάλας χωρεῖν] Scribe *Λήκυθος*. παρὰ τὸ μεγάλως χωρεῖν. LARCHER. Scilicet ita legitur in Etymologico M. p. 510, 38.

74) μεγαλόκητος] Lege μεγαλόκυτος. LARCHER.

75) Λητώ est initium nonae glossae. Nam quae post Λητώ sequuntur, nullo modo cum praecedentibus cohaerent. LARCHER.

76) *Platonis* verba in Cratylo T. I. Opp. p. 406. A. sunt haec· Λητὼ δὲ, ἀπὸ τῆς πρᾳότητος τῆς θεοῦ, κατὰ τὸ ἐθελήμονα εἶναι ὧν ἄν τις δέηται. ἴσως δὲ ὡς οἱ ξένοι καλοῦσι· πολλοὶ γὰρ Ληθὼ καλοῦσιν. ἔοικεν οὖν πρὸς τὸ μὴ τραχὺ τοῦ ἤθους ἀλλ' ἥμερόν τε καὶ λεῖον Ληθὼ κεκλῆσθαι ὑπὸ τῶν τοῦτο καλούντων. LARCHER.

77) τὰς ἐλεοῦσα] Lege πάντας ἐλεοῦσα. LARCHER.

78) οὕτως Ἡρακλείδης. ὁ δὲ Σωρανὸς λέγει] Hinc emendandum est Etymologicum M. p. 511, 50. vbi legitur: Ἡρακλείδης δὲ ὁ Σωρανὸς λέγει. Nam Heraclides non dictus fuit Soranus. Heraclides et Soranus sunt duo Grammatici. Aliquid humani passus est *Fabricius* Biblioth. Graec. Tom. X. p. 36. (Vol. VI. p. 616 edit Harles.) LARCHER. *Fabricius* ducem secutus est *Sylburgium* in Indice Etymologici M. Latino.

*) λεύσω] Scribendum est λεύσσω.

79) λούπτω quid sit, me nescire fateor. Fortasse legendum est λάπτω. LARCHER.

80) λαβαρός τις] Corrige λάβορός τις. Etymol. M. p. 502, 3. Λάβροξ. ἐκ τοῦ βορὰ γίνεται λάβορος. LARCHER.

81) Λαγώς] Vid. Λαγὼς supra. LARCHER.

82) Λαρύξ. ὁμοίως διὰ γὰρ τούτων] Corrige Λάρυγξ καὶ φάρυγξ ταυτόν. ὁμοίως γὰρ διὰ τούτων. *Phauorinus*: Λάρυγξ καὶ φάρυγξ ταυτόν. LARCHER.

83) Λίπω] Lege Λίπτω. Apud *Apollonium Rhodium* IV. 813. legitur: τεοῦ λίπτοντα γάμοιο. vbi *Scholiastes* exponit ἐπιθυμοῦντα. Hinc in Veterum Glossariis a *Car. Labbaeo* collectis: „λιπογάλακτος, *Lacticularius*, *Lacticulosus*." LARCHER.

84) λίπω] Scribe λίπτω. LARCHER.

85) χρῶ] Hoc puto ex χρόω contractum esse, sed sequens χρῶ ex χράω. Neque enim necesse videtur, vt alterutrum deleatur. STVRZ. De verbis cognatis χρόω, χράω, χραύω, χρίω, χρίπτω, χρίμπτω, vide eruditam notam *Dav. Ruhnkenii* ad *Timaei* Lexicon Platonicum in v. Ἐγχρίμπτει p. 101. LARCHER.

86) λόγχας τὰς μερίδας Ἴωνες λέγουσιν] Ionibus λόγχη est *sors*, *portio*. Hinc *Hesychius*: Εὐλογχεῖν· εὐμοιρεῖν. (*felicem esse*, *felici sorte vti*.) vbi vide doctos interpretes T. I. p. 1512. not. 30. LARCHER.

87) ἐν Κίου κτήσει] Lege ἐν Χίου κτίσει. Nam *Ion* poeta scripserat tragoedias, comoedias, epigrammata, paeanas, hymnos, elegias, et de originibus Chii. Vid. *Rich. Bentley* Epist. ad Ioh. Millium p. 64 et 65. LARCHER.

88) ἐκ τῆς Τέω λόγχης λόγχας ποιεῖν πεντήκοντα] Eadem sunt in Etymologico M. p. 516, 35. ad quem locum vide *Sylburgii* notam. LARCHER. *Bastius* in Appendice ad Epist. crit. p. 54. corrigi ex *Orionis* loco locum Etymologici M., vbi πεντήκοντα non legitur, ita iubet: ἐκ τῆς Τέω λόγχης λόγχας ποιεῖ ν, i. e. πεντήκοντα. Etiam in Commentatione palaeographica ad *Gregor.* de Dialectis p. 850. edit. *Schaefer.* infinitiuum ποιεῖν legi ait pro ποιεῖ ν, i. e. ποιεῖ πεντήκοντα, quod ex *Orione* restituendum sit. Equidem quid sibi velit ista correctio ἐκ τῆς Τέως λόγχης, etiamsi vertamus *e priori portione*, intelligere non satis possum, atque ita in *Orionis* Codice legi nego. Putem

Digitized by Google

σιν πεντήκοντα. εἴρηται δὲ παρὰ τὴν λῆξιν, λάχην τινὰ οὖσαν[88b]), καὶ μεταθέσει τοῦ ᾱ εἰς ō, καὶ πλεονασμῷ τοῦ γ̄, λόγχη. παρὰ δὲ τὴν λόγχην, λογχῶ ἐστὶ ῥῆμα, καὶ παρακείμενος λελόγχηκα, καὶ μέσος παρακείμενος λέλογχα.

εἴρια. παρὰ τὸ λεῖον. ὁ αὐτὸς οὕτω φησί[89]).

Λαγνεία. λαγυνεία τις οὖσα. παρὰ τὸ λα, τὸ ἐπιτατικὸν μόριον, καὶ τὴν γενικήν[90]).

Λίχανος. παρὰ τὸ λίαν ἰσχανᾶν[91]), ὅ ἐστι ἐπιθυμεῖν.

Λιμβός[92]). παρὰ τὸ λίαν καὶ τὴν βόσιν, ἥ ἐστι τροφή. λιμβὸς, ὁ σφόδρα περὶ ταύτην ἔχων.

Λαλῶ. λῶ, ἀναδιπλασιασμὸς[93]) λαλῶ. παράγωγον τοῦ λῶ λάσω καὶ λάσκω. τοιαῦτα λάσκεις τοὺς ἀναγκαίους φίλους[94]). τὸ δὲ λῶ δηλοῖ τὸ θέλω. ὁ[95]) δὲ θέλει τὶς, καὶ φθέγγεται. προϋπάρχει δὲ[96]) τοῦ λόγου ἡ ψυχικὴ διάθεσις. οὕτω Φιλόξενος ἐν τῷ περὶ τῆς Ἰάδος διαλέκτου.

Λάλλαι. αἱ ψῆφοι αἱ παραθαλάσσιαι. λαλῶ ἐστὶ ῥῆμα, οὗ ὄνομα ῥηματικὸν λαλὴ, καὶ πλεονασμῷ τοῦ λ̄, λάλλαι. λάλλαι δὲ αἱ ψῆφοι αἱ ὑπὸ τῶν κυμάτων κινούμεναι, αἳ ψόφον τινὰ ἀποτελοῦσιν. οὗτος ὁ αὐτὸς ἐν τῷ αὐτῷ βιβλίῳ[97]).

Λεπτός. παρὰ τὸ λέπω, ὅ ἐστι λεπίζω.

Λεύσω[98]). βλέπω ἐστὶ ῥῆμα, ὅθεν ἀβλαπτῶ, ὅπερ κατ' Αἰολέας γίνεται βλέπω. ὡς ὄπτα ὄσσω· ὀσσόμενος πατέρ' ἐσθλόν[99]). καὶ ἀποβολῇ τοῦ β̄, λέσσω, καὶ πλεονασμῷ τοῦ ῡ, λεύσσω.

Λάχνη. παρὰ τὸ λα, τὸ ἐπιτατικὸν μόριον, καὶ τὸ ἔχω. ἥς ἐστιν ἔχεσθαι καὶ λαβέσθαι. ἡ γὰρ τρίχωσις εὔληπτος. οὕτως Ἡρακλείδης.

Λάπτω. παρὰ τὸ λα μόριον ἐπίτασιν δηλοῦν, ὡς καὶ τὸ αρι, καὶ τὸ ερι, καὶ τὸ ζα. τὸ λάπτω οὖν δηλοῖ τὸ λίαν ἅπτεσθαι. λάπτοντες, οἷον προσκείμενοι τῷ ὕδατι.

Λύρα. παρὰ τὸ λύω. οὗ ὁ μέλλων λύσω. λύτρα[100]) ἐδόθη τῷ Ἀπόλλωνι παρὰ τοῦ Ἑρμοῦ, ὑπὲρ ὧν ἔκλεψε βοῶν ὁ αὐτὸς Ἑρμῆς[1]).

Λαῖλαψ. λάπτω, ὁ μέλλων λάψω, καὶ ἀποβολῇ τοῦ ω, λὰψ, καὶ κατ' ἀναδιπλασιασμὸν, λαῖλαψ, μετὰ προθέσεως[2]) τοῦ ῑ· δηλοῦσα τὴν λίαν[3]) καὶ σφοδρὰν καὶ ἐπιτεταμένην λαβρότητα τοῦ πνεύματος.

Λάβραξ[4]). παρὰ τὸ λάβρως ἐσθίειν. ἀδηφάγον γὰρ τὸ ζῶον.

Λάγνος. παρώνυμον γυνή[5]), καὶ συγκοπῇ λάγνος. ἀφ' οὗ λαγνία, ὡς κακὸς κακία.

Λάξ. παρὰ τὸ λήγω ῥῆμα, οὗ μέλλων λήξω, λὴξ λὰξ, τὸ[*]) τῷ λήγοντι μέρει τοῦ ποδὸς, τουτέστι, τῷ ἄκρῳ πλήττειν.

Λόγχη. παρὰ τὸ λίαν ἔχεσθαι ὑπὸ τοῦ χρωμένου.

Λίβανος. παρὰ τὸ λείβω. καταστάζεται γὰρ ἀπὸ τοῦ φυτοῦ. λείβω, λείψω, λιμὸς[6]), καὶ παρὰ τὸ αὐτὸ ῥῆμα.

Λοιμός[7]). ἔλλειψις γὰρ ἑκατέρωθεν, καὶ σωμάτων καὶ τροφῶν.

Λακίδες. ἐπὶ σχίσματος[8]) ἱματίου. παρὰ τὸ λακεῖν καὶ ψοφεῖν· ἠρέμα ἐνσχίζεσθαι[9]). οὕτως Ἀρίσταρχος ἐν τοῖς Σημείοις Ἡσιόδου.

---

item, quod ad alteram attinet, in Etymologico M. legendum esse ποιεῖν πεντήκοντα.

88b) *λάχην τινὰ οὖσαν*] Scribe *λαχήν τινα οὖσαν*. Eadem exstant in Etymologico M. p. 516, 30. ad quem locum *Sylburgius*: „vt structura constet, ante *λαχὴν* inserendum *ὡς*, aut nominatiuo casu legendum, *λαχή τις οὖσα*.“ Errare mihi videtur vir eruditissimus. Haec dicta sunt per appositionem. LARCHER.

89) *ὁ αὐτὸς οὕτω φησί*] An est *Ion*, de quo glossa praecedente *Orion* locutus est? Non est vero simile. Suspicor locum mutilum esse. LARCHER.

90) *τὴν γενικήν*] Scribe cum Etymologico M. p. 502, 21. *τὴν γυναῖκα*. LARCHER.

91) *ἰσχανᾶν* est vox Homerica. Vid. Etymol. M. p. 434. in v. *Ἰσχανόων*. LARCHER.

92) Vet. Gloss. „*λιμβός*, Ligurius, Glutto.“ *Moschopulus* περὶ *Σχεδῶν* p. 166, 11. *λίχνος*, *λαίμαργος* —— *λιμβὸς τὸ αὐτό*. Deducit autem idem ibidem p. 40, 23. *παρὰ τὸ λίαν βαίνειν*. *Scholiastes Aristoph.* ad Nubb. 1202. *προϋτένθευσαν· προελιμβεύσαντο, προελιχνεύσαντο*. LARCHER.

93) *ἀναδιπλασιασμός*] *Bastius* ad *Gregor.* de Dialectis p. 129. edit. *Schaefer.* vbi glossam *Orionis* affert, exhibet *ἀναδιπλασιασμῷ*.

94) *τοιαῦτα —— φίλους*] Versus est ex *Euripidis* Andromacha 671. LARCHER.

95) *ὁ δὲ θέλει τὶς*] Scribe *ὃ δὲ θέλει τις*. LARCHER. Ita dedit etiam *Bastius* l. l.

96) *δὲ τοῦ λόγου*] *Bastius* l. l. habet *γὰρ τοῦ λόγου*. Sed *δὲ* quoque ferri potest.

97) *Λάλλαι κ. τ. λ.*] Totum locum *Ruhnkenius* in Auctario Emendationum ad *Hesychii* Tom. II. p. 420. correctius scriptum sic exhibet: *Λάλλαι. ἐκ τοῦ λαλῶ γίνεται ῥηματικὸν ὄνομα λάλη· καὶ πλεονασμῷ τοῦ λ, λάλλη. Λάλλαι δέ εἰσιν αἱ ψῆφοι αἱ παραθαλάσσιαι, αἱ ὑπὸ τῶν κυμάτων κινούμεναι καὶ ψόφον τινὰ ἀποτελοῦσαι. οὕτως Φιλόξενος ἐν τῷ περὶ τῆς Ἰάδος διαλέκτου.* Videtur tamen vir praeclarus ex ingenio nonnulla mutasse, non Codice accuratius scripto vsus esse. STURZ. In vltimis huius glossae verbis pro *οὗτος ὁ αὐτὸς* legendum est *οὕτως ὁ αὐτὸς*, nempe *Philoxenus ἐν τῷ περὶ τῆς Ἰάδος διαλέκτου*. LARCHER.

98) *Λεύσω κ. τ. λ.*] Cum Etymologico M. p. 509, 4. corrige *Λεύσσω. βλέπτω ἐστὶ ῥῆμα, ὅθεν ἀποβλεπτῶ, ὅπερ κατ' Αἰολέας γίνεται βλέσσω. ὡς κ. τ. λ.* LARCHER.

99) *ὀσσόμενος πατέρ' ἐσθλόν*] Sunt verba *Homeri* Odyss. *A.* 115. LARCHER.

100) *λύτρα ἐδόθη*] Cum Etymologici M. auctore p. 518, 1. lege *λύτρα τὶς οὖσα. λύρα γὰρ ἐδόθη*. LARCHER.

1) *ἔκλεψε βοῶν ὁ αὐτὸς Ἑρμῆς*] Plenius ac melius in Etymologico M. p. 518, 3. legitur *ἔκλεψε βοῶν τοῦ Ἀπόλλωνος ὁ Ἑρμῆς*. Istis subobscuris facem praebebit *Eustathius* ad Iliad. p. 57*, 35. Mercurius furto abegerat boues Apollinis, cuius iram vt sedaret ac dissolueret, illi donauit lyram, quam excogitarat. LARCHER.

2) *μετὰ προθέσεως*] Corrige *μετὰ προσθέσεως*. Nomina *πρόθεσις* et *πρόσθεσις* librarii saepe confundunt. LARCHER.

3) *τὴν λίαν*] Fortassis addendum est *ἁπτομένην*. Certe in Etymologico M. p. 506, 55. haec leguntur: *τὸ δὲ λάπτω* —— *σημαίνει τὸ λίαν ἅπτεσθαι*. Et fere eadem paulo ante ab *Orione* in voc. *Λάπτω* tradita vidimus.

4) *Λάβραξ* est *lupus marinus*. LARCHER.

5) *γυνή*] Corrige *λάγυνος*. LARCHER.

*) *τὸ τῷ λήγοντι*] Melius videtur, quod Excerpta p. 615, 3. habent, *διὰ τὸ τῷ λήγοντι*.

6) *λιμός*] Scribe *λίβος*. Error ortus est ex vitiosa pronuntiatione. LARCHER.

7) *Λοιμός*] Corrige *Λοιμὸς καὶ λιμός*. Nam *λοιμὸς* est *σωμάτων ἔλλειψις*, sed *λιμὸς* est alimentorum penuria. LARCHER.

8) *ἐπὶ σχίσματος*] *Bastius* ad *Gregor.* de Dialectis p. 458. edit. *Schaefer.* vbi affert totam *Orionis* glossam, in Codice MS. legisse videtur vno verbo *ἐπισχίσματος*, quod ex Etymol. M. p. 563, 58. corrigi iubet *ἐπισχίσματα*. Sed *Ruhnkenius* quoque Praefat. ad *Hesych.* Vol. II. p. VII. tanquam e Codice, non, vt *Bastius* l. l. pag. 901. significat, ex coniectura, exhibet *ἐπὶ σχίσματος*.

9) *ψοφεῖν· ἠρέμα ἐνσχίζεσθαι*] Cum Etymologico M. p. 563,

Digitized by Google

ΑΡΧΗ ΤΟΥ Μ.

Μάρτυς. παρὰ τὸ μάρπτω, τὸ καταλαμβάνω, μάρπτυς, ἀποβολῇ τοῦ π̄. ὁ ἐκ τοῦ κατειληφέναι δυνάμενός τι περὶ αὐτοῦ εἰπεῖν. ὁ δὲ Φιλόξενός φησι παρὰ τὸ μαίρω. ὁ λάμπων, ὁ λαμπρύνων, καὶ εἰς φῶς ἄγων τὸ προκείμενον, δι' ὧν μαρτυρεῖ. μαίρω, μάρτος, μάρτυς, τροπῇ τοῦ ο̄ εἰς ῡ.

Μάρνασθαι. παρὰ τὸ μαραίνεσθαι καὶ πολέμῳ φθείρεσθαι. ἢ ἀποβολῇ τοῦ ρ̄, μάνασθαι[10]). παρὰ τὸ.....

Μυκάλη. παρὰ τὸ ἐκεῖ μυκᾶσθαι τὰς Γοργόνας δια —[11])

Ὄθος[12]). παρὰ τὸν μολυσμὸν τῶν φόνων. ἢ παρὰ . . . . . . [13]) τοὺς μαχομένους καὶ εἰς τὸ αὐτὸ συντρέχειν.

Μαιμώωσα. πλεονασμῷ τοῦ μ̄, οἷον αἱμώωσα, αἵματος ἐπιθυμοῦσα. ἀπὸ τῶν ἐμψύχων ἡ μεταφορά. δύναται[14]) καὶ παρὰ τὸ μῶ, διπλασιασμὸς μαιμῶ. μῶ δὲ τὸ ζηθῶ[15]), ἀπὸ τοῦ μῶ μῶμαι[16]). ἀπὸ δὲ τοῦ μαίμω[17]), μαίμησε δέ οἱ φίλον ἦτορ[18]). παρὰ δὲ τὸ μῶ μαίω, μαιομένη κευθμῶνα[19]), γίνεται.

Μαργαίνειν. καὶ μάργος, ὁ μαινόμενος, ᾧ μὴ ἔστιν ἀρήγειν καὶ βοηθεῖν. Μαχὸς[20]) ἀπὸ τοῦ μεμοιχέναι, ἢ νυχός τις ὤν, οἷον σκοτεινός.

Μέτωπον. πρόθεσις ἀντὶ προθέσεως. τὸ ὑπὲρ τοὺς ὦπας μέρος, οἷον ὑπαρτώπον[21]).

Μενοεικές. τὸ μένει. εἰκὸς[22]) καὶ ἀρεστόν.

Μιστύλλειν. τὸ καταμικόπτειν[23]). παρὰ τὸ μεῖον.

Μαλερόν. τὸ μαραντικόν, ἢ τὸ λαμπρόν, παρὰ τὸ μαίρειν, ὅ ἐστι λάμπειν. Ὅθεν τὸ μαρμαίρω, πλεονάσαντος τοῦ ρ̄. εἶναι μαλερὸν[24]), καὶ τροπῇ τοῦ ρ̄ εἰς λ̄, μαλερόν.

Μαίρα, ἡ κύων τοῦ Ὠρίωνος[25]). παρὰ τὸ μαίρω, τὸ λάμπω, καὶ διπλασιασμὸς μαρμαίρω, ὅθεν μάρμαρος.

Μάρψαι. κυρίως τὸ ἐν ταῖς χερσὶ συλλαβεῖν. μάρη γὰρ ἔλεγον τὰς χεῖρας. ἔνθεν τὸ εὐχερὲς, εὐμαρὲς[26]). οὕτως εὗρον ἐν Ὑπομνήματι Ἰλιάδος.

Μύρεσθαι. παρὰ τὸ μύρειν καὶ ῥεῖν τὰ δάκρυα[27]).

Μελπόμενος[28]). τηκόμενος. κυρίως δὲ μέλδειν. τὸ τὰ μέλη ἔδειν, ὅ ἐστιν ἐσθίειν. ὅ ἐστι μελέδειν[29]).

Μέρσιμος. μόρος μόριμος. πλεονασμῷ τοῦ σ̄, μέρσιμος.

Μῖσος. παρὰ τὸ μὴ ἴσον εἶναι.

Μήρινθος. ἡ σπάρτη. παρὰ τὸ μύρεσθαι, καὶ καταῤῥεῖν ἐν τῷ κλώθεσθαι αὐτήν.

Μυλήφατος. παρὰ τὸ ὑπὸ μύλης συντετρίφθαι.

Μάσταξ. εἴρεται μὲν ἐπὶ τοῦ στόματος. Ὅμηρος[30])·

---

58. lege φορεῖν ἠρέμα ἐν τῷ σχίζεσθαι. et vicissim emenda Etymologicon M. l. l. ex *Orione*. Larcher. Idem sentit *Bastius* l. l. sed luculentius dicit, quomodo *Orion* Etymologico M. emendando seruire possit, nempe addendo testimonio *Aristarchi*. Etiam *Ruhnkenius* l. l. verba *Orionis* eodem modo, quo hi viri docti, scripta praebet.

10) ἢ ἀποβολῇ τοῦ ρ̄, μάνασθαι] Cum glossa sit mutila, nihil definire audeo. Sic tamen mihi legendum videtur: ἢ παρὰ τὸ μάρη, αἱ χεῖρες, (Vid. inferius *Μάρψαι*.) μαρῄνασθαι, ἀποβολῇ τοῦ η̄, μάρνασθαι, τὸ διὰ χειρὸς μάρνασθαι. Vid. *Eustath.* in *Homer.* Iliad. p. 1009, 24. Larcher.

11) Γοργόνας δια . . .] Deest aliquid, quod facile sarciri potest ex Etymolog. M. p. 538, 1. διωκούσας τὸν Περσέα. *Stephanus Byzantinus* tamen, in *Μυκάλη*, nulla facta Persei mentione dicit: ἐκλήθη δὲ, ἐπεὶ αἱ λοιπαὶ Γοργόνες ἐπὶ τόπῳ (ex emendatione *Berkelii*) μυκώμεναι τὴν κεφαλὴν Μεδούσης ἀνεκαλοῦντο. quem locum exscripsit *Eustathius* ad *Homeri* Iliad. *B.* p. 368, 25. nisi quod pro ἐπὶ τόπῳ legit ἐπὶ τοῦ ὄρους τούτου, quod mihi potius videtur emendatione *Berkelii*. Confer eundem *Eustath.* p. 266, 29. et *Scholiasten Homeri Villoisonianum* ad Iliad. *B.* 5. pag. 74. col. 2. lin. 16. Larcher.

12) Ὄθος] Scribe Μόθος. Larcher.

13) παρὰ . . . . . . τοὺς μαχομένους] Cum Etymologico M. p. 534, 55. lege παρὰ τὸ ὁμοῦ θεῖν τοὺς μαχομένους, vel potius cum *Orione* ipso, qui infra in *Μόθος*, quae vox loco mota fuit, eadem dicit. Larcher. Recte haec quidem. Nam in Etymologico M. non θεῖν legitur, sed δεῖν, quod referri potest ad sequens verbum συντρέχειν. quanquam ibi quoque si quis θεῖν restituendum putet, fortasse non inepte iudicet.

14) δύναται καὶ] *Bastius* ad *Gregor.* de Dialectis p. 583. et 584. afferens totum locum, δὲ posuit post δύναται, quam particulam *Larcherus* in Codice non reperit.

15) ζηθῶ] *Bastius* l. l. tacite edidit ζητῶ, quod vtique reponendum est.

16) μῶμαι] *Bastius* l. l. tanquam Codicis scripturam affert μῶμα, quod corrigi iubet μῶμος, addens: „Commutatio literarum ᾱ et ος frequentissima est in Codice *Orionis*.“ Et p. 773. hunc eundem locum respiciens: „in *Orione* perperam legitur μῶμα pro μῶμος.“ Immo vnice verum puto, quod *Larcherus* in Codice reperit, μῶμαι. nisi quidem verba ἀπὸ τοῦ μῶ μῶμαι delenda quis arbitretur, vel pro μῶμαι, transpositis syllabis, μαιμῶ legendum.

17) μαίμω] *Bastius* l. l. recte corrigit μαιμῶ.

18) μαίμησε δέ οἱ φίλον ἦτορ] Est pars versus *Homeri* Iliad. *E.* 670. Larcher.

19) μαιομένη κευθμῶνα] Haec verba, quae ex Etymologico Leidensi attulit *Koenius* ad *Gregor.* de Dialectis p. 273. (p. 583. edit. *Schaefer.*) et quae *Phauorinus* quoque in v. *Μαιμώωσα* habet, fortassise mendanda sunt ex *Hesiodi* Ἔργ. 532. μαιόμενοι κευθμῶνας.

20) Μαχὸς] Incipit nouam glossam. Sed legendum est Μοιχός. Larcher. Mihi legendum potius videtur *Μυχός*, ἀπὸ τοῦ μεμυκέναι. Nam Etymologicum Gudianum p. 400, 54. haec habet: Μυχὸς, ἀπὸ τοῦ μεμυκέσθαι. p. 396, 47. γίνεται δὲ παρὰ τὸ νὺξ νυχὸς, κατὰ τροπὴν τοῦ ἀμεταβόλου εἰς ἀμετάβολον, μυχὸς —— παρὰ τὸ μεμυκέναι, ἢ νυχὸς (scribe ex *Orione* ἢ νυχὸς) τις ὤν, οἱονεὶ σκοτεινός. *Phauorinus*: Μυχὸς, παρὰ τὸ μύω, τὸ κρύπτω. Confer infra Μοιχός.

21) ὑπαρτώπον] Corrige ὑπέρωπον, vt est in Etymologico M. p. 527, 54. Larcher.

22) τὸ μένει. εἰκὸς] Lege τὸ τῷ μένει εἰκὸς, *animo consentaneum*. Vid. Etymol. M. p. 525, 9. Larcher.

23) καταμικόπτειν] Fortasse legendum est κατὰ μικρὰ κόπτειν. Larcher. Etymol. Gud. p. 395, 41. habet: εἰς μικρὰ κατακόπτω.

24) εἶναι μαλερόν] Scribendum videtur εἶναι μαρερόν. Infinitiuus ab *Orione* saepe adhibetur ad explicandam primam personam indicatiui.

25) Ὠρίωνος] Ita scripsi pro vitiosa Codicis scriptura Ὠρίονος. Sturz. De cane Orionis *Scholiastes Lycophronis* ad vers. 334. sic exponit: μαῖρα νῦν ὁ κύων, ἀπὸ μιᾶς τῶν κυνῶν τοῦ Ὠρίωνος, Μαίρας καλουμένης. κυρίως δὲ Μαῖρα λέγεται ἡ λευκομέλαινα αἴξ. Alia de cane Maera tradit *Hyginus* Fab. CXXX. sed lectu digna. Larcher.

26) τὸ εὐχερὲς, εὐμαρὲς] Lege potius τὸ εὐμαρὲς, εὐχερές. Vid. *Eustath.* ad Iliad. p. 1009, 24. Larcher.

27) μύρειν καὶ ῥεῖν τὰ δάκρυα] Optime. Nam teste auctore Etymologici M. p. 539, 28. μύρω est ῥέω. Larcher.

28) Μελπόμενος] Scribe Μελδόμενος. *Homerus* fauet etymo, cum dicit τηκεδόνι στυγερῇ μελέων ἐξείλετο θυμόν. Odyss. *Λ.* 200 Larcher.

29) ὅ ἐστι μελέδειν] Ex Etymol. M. p. 522, 21. legendum existimo οἷον μέλδειν.

30) Ὅμηρος] Locus est Odyss. *Δ.* 287. Larcher.

Digitized by Google

ἀλλ' Ὀδυσεὺς ἐπὶ μάσταχα χερσὶ πίεζε. ἐπὶ δὲ τῆς τροφῆς ὅτε[31] λέγεται· μάστακ', ἐπεί κε λάβῃσι[32], παρὰ τὸ μαστεύειν αὐτὴν τὰ βρέφη. ἐπὶ δὲ τοῦ στόματος, παρὰ τὸ μασᾶσθαι[33].

Μετέωρος. ὁ κοῦφος. παρὰ τὸν ὧρον τὸν χρόνον. Ὁμήρῳ[34]· ἐννέωροι γάρ τοί γε καὶ ἐννεαπήχεες ἦσαν.

Μύλη. παρὰ τὸ μειοῦν καὶ τὸ ἀλοᾶν, οἷον ἐς λεπτὰ ἀλλοιᾶν[35].

Μᾶσσον. τὸ μέγα καὶ μακρόν. παρὰ τὸ μὴ ἆσσον εἶναί τινος, ὅ ἐστιν ἐγγύς.

Μυκαλεσσός. ἡ πόλις. ὅτι ἐκεῖσε ἐμυκήσατο ἡ βοῦς ἡ προηγησαμένη τοῦ Κάδμου εἰς τὴν κτίσιν τῶν θνητῶν[36], κατὰ χρησμὸν Ἀπόλλωνος.

Μικρός. παρὰ τὸ μεῖον, μικρός[37].

Μισγητή. ἡ πόρνη. μισγητή τις οὖσα. παρὰ τὸ μίσγεσθαι.

Μοῖρα. παρὰ τὸ μείρω τὸ μερίζω. ἡ αὐτὴ δὲ εἱμαρμένη, παρὰ τὸ μεμερίσθαι ἑκάστῳ.

Μαρίλη. τὸ λεπτὸν τῶν ἀνθρακιῶν. παρὰ τὸ μάρω, ἀφ' οὗ μαραίνω, μάρω, μαρίλη.

Μέρος[38]. παρὰ τὸ μειοῦσθαι πρὸς τὸ ὅλον. ἢ παρὰ τὸ μείρω. μερίζεται γὰρ κατ' ἐκεῖνα τὰ μέρη τὸ σῶμα. καὶ τὸ μηρὸς ὁμοίως.

Μήδεα[38b]. τὰ αἰδοῖα. παρὰ τὸ μέδειν καὶ ἄρχειν τῆς γενέσεως.

Μέζεα. κατὰ μετάθεσιν τοῦ δ εἰς ζ.

Μήτρα. ὅτι μήτηρ ἐστὶ τοῦ γεννωμένου. ὡς πατὴρ πάτρα κατὰ μετάθεσιν τοῦ ρ, καὶ μήτηρ μήτρα.

Μύλη. ἐπὶ τῆς ἐπιγονατίδος. ἀπὸ τῆς ἔξω πρὸς τὴν μηχανὴν ἐμφερείας. διὰ τὸ ἄνω εἶναι τοῦ ἄρθρου τὸ κοῖλον, ὡς καὶ τῆς μύλης τὸ ὕπερθεν, καὶ τὰ ἐμβαλλόμενα πρὸς τὸ ἀλεσθῆναι τὰ σπέρματα.

Μύξα. παρὰ τὸ ἐκ μυκτῆρος ἐκκρίνεσθαι.

Μάγειρος. παρὰ τὸ μάσσω, ἤγουν ὁ τὰς μάζας μερίζων. οὕτως Ἡρωδιανὸς ἐν τῇ Ὀρθογραφίᾳ. καὶ Φιλόξενος ἐν τῷ περὶ Ἀναδιπλασιασμοῦ, πλεονασμὸν λέγει τὸ μ. παρὰ τὸ ἀγύρειν τὸ ἀθροίζειν, ἤτοι ἐξ ὧν ἀρτύει, ἢ ὧν παρασκευάζει ὄψων.

Μάστυξ[39]. αἱ τοῦ ἄνω χείλους τρίχες ἀπὸ τοῦ μυκτῆρος. ἢ μέσταξ, ἀπὸ τοῦ μεσοῦσθαι[40] τῶν τριχῶν, ἤτοι μεστοὺς εἶναι.

Μαλλός. ἐπὶ τῶν πλαγίων τριχῶν τῶν τῆς κεφαλῆς. εἴρηται δὲ ἀπὸ ἐμφερείας τῶν τοῦ προβάτου μαλλῶν.

Μήνιγγες λέγονται διὰ τὸ μένειν ἐν αὐταῖς τὸν ἐγκέφαλον. οὕτω Σωρανὸς λέγει.

Μυελός. οἷον μυχελός, παρὰ τὸ ἐν μυχῷ εἰλεῖσθαι, ἢ ἀλαζονεύεσθαι[41], ἢ λεῖον εἶναι, ἢ ἐν μεμυκότι ὀστέῳ τυγχάνειν. οὕτω Σωρανός.

Μύωψ[42]. ὁ μύειν συνεχῶς τοὺς ὦτας ποιῶν.

Μυκτήρ. ἀπὸ τοῦ τὴν μύξαν δι' αὐτοῦ ἐξιέναι. ἢ ἀπὸ τοῦ μύξας τινὰς ἐφ' ἑαυτῷ[43] ἔχειν, τουτέστι πόρους, ἢ ἀπὸ τοῦ ἡγεμονικοῦ[44] τεταγμένος τῆς αἰσθήσεως. ὅθεν καὶ μυκτηρίζειν[45] λέγομεν τοὺς ἐν τῷ διαπαίζειν τινὰς τοῦτό πως τὸ μέρος ἐπισπῶντας. οὕτως ὁ αὐτὸς Σωρανός.

Μύλαι. τῶν ὀδόντων λέγονται, διὰ τὸ ἐπ' αὐτῶν λεαίνεσθαι, ἤτοι τρίβεσθαι τὴν τροφήν.

Μασχάλη. ἀπὸ τοῦ κεχαλᾶσθαι[46] εἰς μαστὸν, ἢ εἰς ἣν χαλᾶται ὁ μῦς. ἢ ἀπὸ τῆς ἀλέας τῆς διὰ τὴν καμπὴν τοῦ σώματος. οὕτω Σωρανός. ὁ δὲ Ἡρακλείδης

---

31) *ὅτε λέγεται*] Haec quod postposita sunt, paulo obscurior fit oratio, quae melius sic flueret: *ὅτε δὲ ἐπὶ τῆς τροφῆς λέγεται*, (vt in loco *Homeri μάστακ' —— λάβῃσι*) *παρὰ τὸ μαστεύειν αὐτὴν τὰ βρέφη*, nempe *εἴρηται*.

32) *μάστακ' —— λάβῃσι*] Haec leguntur in *Homeri* Iliad. *I.* 324. Larcher.

33) *παρὰ τὸ μασᾶσθαι*] Vid. Etymol. M. in v. *Βροῦχος* p. 196, 9. Larcher.

34) *Ὁμήρῳ*] Locus est Odyss. *Λ.* 310. Larcher. Scribi autem debebat vel *Ὅμηρος*, vel *ὡς παρ' Ὁμήρῳ*.

35) *ἀλλοιᾶν*] Scribe *ἀλοᾶν*. Larcher.

36) *τῶν θνητῶν*] Mira hallucinatio librarii. Scribe *τῶν Θηβῶν*. Vid. Etymol. M. p. 538, 4. Larcher. Pro *Μυκαλεσσὸς* in Etymologico M. p. 538, 2. est *Μυκαλησσὸς*, apud *Phauorinum Μυκαλεσὸς* et *Μυκαλισσός*. Sed vera scriptura est *Μυκαλησσός*. Vid. Iliad. *B.* 498.

37) *παρὰ τὸ μεῖον, μικρὸς*] Nempe *μεῖον, μεῖον, μιῖον, μιϊκρὸς, μικρός*. Vid. Etymol. M. p. 532, 38. Larcher.

38) *Μέρος*] Legendum fortassis est *Μέλος*, vel potius in plurali, *Μέλη*. Nam *μέλη* sunt *artus*, et dicitur hoc nomen tam de manibus quam de pedibus. Conueniunt igitur *μέλη* inprimis cum sequentibus, *μερίζεται γὰρ κατ' ἐκεῖνα τὰ μέρη τὸ σῶμα*. Non inutile erit exscribere Etymologicum MS. Bibliothecae Regiae: *Μελέεσσι· τοῖς μέλεσιν. Ὁ κανών· ἐπὶ τῶν ἀρσενικῶν καὶ θηλυκῶν, ἡνίκα λήγει τῶν πληθυντικῶν ἡ εὐθεῖα εἰς ες, προσθέσει τῆς σι συλλαβῆς ποιοῦσι τὴν δοτικὴν τῶν πληθυντικῶν· οἷον Αἴαντες Αἰάντεσσι, γίγαντες γιγάντεσσι. ἐπὶ δὲ τῶν οὐδετέρων, ἐπειδὴ οὐ λήγει τῶν πληθυντικῶν ἡ εὐθεῖα εἰς ες, ἀπὸ τῆς γενικῆς τῶν ἑνικῶν, οἷον βῆμα βήματος βημάτεσσι, μέλος μέλεος μελέεσσι. καὶ τί διαφέρει τὸ μέλος καὶ μέρος; διαφέρει ὥσπερ τὰ μέλη μέρη εἰσὶ τοῦ σώματος. καὶ τὰ μὲν εἰσὶ βραχέα, τὰ δὲ μακρά. καὶ τὰ μὲν εἰσὶν εἰς ἐνέργειαν, ὡς ἐπὶ τῶν χειρῶν· τὰ δὲ ἐπὶ τὸ περιπατεῖν, ὡς ἐπὶ τῶν ποδῶν. οὕτω καὶ τὰ μέλη, τὰ μὲν εἰσὶν ὀξύφωνα, τὰ δὲ βαρύφωνα. καὶ οὕτως ἀποτελοῦσι τὴν ἐναρμόνιον μελῳδίαν. ἔστι δὲ μέλος εἶδος τῶν ὑποπεπτωκότων τῷ ὀνόματι συνωνύμων. συνώνυμον δέ ἐστι ἐν διαφόροις ὀνόμασι τὸ αὐτὸ δηλοῦν. τὸ δὲ μέλος, παρὰ τὸ μέρος. τὰ γὰρ μέλη, μέρη εἰσὶ τοῦ σώματος· μεταφορικῶς ἡ ἐναρμόνιος μελῳδία.* Larcher. In Excerptis quoque p. 615, 9. legitur: *Μέρος* (non *Μέλος*) *παρὰ τὸ μεμειῶσθαι πρὸς τὸ ὅλον*.

38 b) *Μήδεα*] Hanc glossam *Basilius* ad *Gregor.* de Dialectis p. 635. in Codice MS. *Orionis* ita coniunctam cum sequenti *Μέζεα* dicit: *Μήδεα, τὰ αἰδοῖα, παρὰ τὸ μέδειν καὶ ἄρχειν τῆς γενέσεως· μέζεα δὲ, κατὰ μετάθεσιν τοῦ δ εἰς ζ.*

39) *Μάστυξ*] Scribe *Μύσταξ*. Hinc Gallis *moustache*. Larcher. Conf. not. 40.

40) *ἀπὸ τοῦ μεσοῦσθαι*] Cum Etymologico MS. Biblioth. Reg. scribe *ἀπὸ τοῦ μεστοῦσθαι*. Larcher. Recte. Certe in Excerptis ex *Orione* p. 615, 10. legitur: *Μύσταξ ἀπὸ [τοῦ] μεμεστῶσθαι τὸ ἄνω χεῖλος τριχῶν*. *Suidas* tamen habet: *Μεσοῦται· πληροῦται.*

41) *ἀλαζονεύεσθαι*] Lege *ἀσφαλίζεσθαι*. Etymologicon M. p. 538, 36. *παρὰ τὸ μύω τὸ ἀσφαλίζω*. Larcher.

42) *Μύωψ* est *tabanus, asilus*. Larcher. Qui Excerpta ex *Orione* fecit, videtur de *luscioso* intellexisse. Scripsit enim p. 615, 12. *Μύωψ, ὁ μύων συνεχῶς τοὺς ὦπας.*

43) *ἐφ' ἑαυτῷ*] Lege *ἐφ' ἑαυτοῦ*, vt est in Etymologico M. p. 538, 27. Larcher.

44) *ἀπὸ τοῦ ἡγεμονικοῦ*] Eadem leguntur in Etymolog. M. p. 538, 28. *Sylburgius* in notis ad eum locum mallet *ἐπὶ τοῦ ἡγεμονικοῦ*. Larcher.

45) *μυκτηρίζεν*] Scribe *μυκτηρίζειν*, *naso suspendere adunco*, vt loquitur Venusinus poeta. Larcher.

46) *ἀπὸ τοῦ κεχαλᾶσθαι*] Lege *ἀπὸ τοῦ χαλᾶσθαι*, quod recte legitur in Codice Havniensi 1971. vbi totus *Orionis* locus exscriptus est. Vide Annotationes ad Etymol. M. a me collectas p. 959. Quod vero in eodem Codice paulo post est *ἀλαίας* pro *ἀλέας*, mihi non probatur. Conf. infra not. 70.



Digitized by Google

ἀπὸ τοῦ μαστεύειν τι ὑπ᾽ αὐτήν· ἐπειδὴ οἱ ὑφαιρεύμενοι ὑπ᾽ αὐτὴν κρύπτουσι.

Μασταί. μαστητοί τινες ὄντες, ἢ ἀπὸ τοῦ προσμάττεσθαι καὶ προσφέρεσθαι τούτοις πρώτοις τὰ βρέφη· ἢ οἷον παστοί, ἀπὸ τοῦ πάσασθαι· ἢ σπαστοί τινες ὄντες, ἀπὸ τοῦ σπᾶν αὐτοὺς τὰ βρέφη· ἢ ἀπὸ τοῦ ὑπὸ τῶν θηλαζομένων ἐπισπᾶσθαι· ἢ παρὰ τὸ μῶ, τὸ ζηθῶ[47]). παράγωγον μαζῶ, καὶ μαστὸς, ὃν ἐπιζητοῦσιν οἱ παῖδες. δύναται καὶ παρὰ τὸ μαζῶ μάζα, ἡ ζητουμένη τροφή.

Μήτηρ. ἡ μαστεύουσα τὰ πρὸς τροφὴν τοῖς κυηθεῖσιν. ἢ ὅτι φυσικῶς αὐτὰ μαστεύει τὰ γεννηθέντα ἡ μήτηρ.

Μετάφρενον. ὅτι ἐξόπισθεν τῶν φρενῶν κεῖται. φρένες δὲ ὑμένες. εἰσὶ δὲ μεταξὺ τῆς καρδίας καὶ τοῦ ἥπατος.

Μάκαρ. ἀποκοπὴ τοῦ μακάριος. οὕτω δὲ ἐγένετο. τὸ κὴρ[48]), κηρὸς, καρὸς, κατὰ συστολὴν κτητικῷ τύπῳ, κάριος, καὶ κατὰ στέρησιν, ἀκάριος, καὶ πλεονασμῷ τοῦ μ̄, μακάριος, ὡς ἴα μία, ἀποκοπῇ δὲ δύο συλλαβῶν, μάκαρ, ἐν δὲ συγκοπῇ, μάκαρς[49]), ἀπὸ τοῦ μακάριος, ὅθεν ἔμεινε τὸ σ̄.

Μηκίων. παρὰ τὸ μακρὸς μακρίων, καὶ μακίων, καὶ τροπῇ τοῦ ᾱ εἰς η̄, μηκίων. ἔνθεν τὸ μήκιστος, καὶ τρίτος τύπος μάσσων.

Μέτρον. παρὰ τὸ μείρω τὸ μερίζω, μεῖτρον καὶ μέτρον[50]), ὡς τὸ δέρω δέρτρον.

Μενθῆραι. αἱ φροντίδες, ἀντὶ τοῦ μενεθῆραι, αἱ θηρώμεναι τὸ μένος, τουτέστι τὴν ψυχήν· οὐ γὰρ ἄλλῳ θηρᾶται ἡ ψυχὴ καὶ κρατεῖται ἢ ταῖς φροντίσιν.

Μαστροπός[51]). παρὰ τὸ μαίεσθαι τοὺς τρόπους τῶν πορνευουσῶν γυναικῶν.

Μελέαγρος. παρὰ τὸ μελαίαν[52]) ἀγρεύειν ἄγραν.

Μέταλλον. ἀπὸ τοῦ ζητεῖν ἐν ἑαυτῷ τι *).

Μοχθηρός. κυρίως ὁ περὶ μόχθον ἀναστρεφόμενος καὶ πονηρός. ἀπὸ δὲ τοῦ σώματος ἐπὶ τὴν διάνοιαν μετενήνεκται, ὁ τῇ διαθέσει κακός.

Μυλωθρός. πλεονασμῷ τοῦ ρ̄, οἷον ὁ τὴν μέλην[53]) ὠθῶν, μυλωθός τις ὤν.

Μήνη. ἡ σελήνη. ἀπὸ τοῦ μὴ μένειν ἐν τῷ αὐτῷ, ἀλλὰ ποτὲ μὲν μειοῦσθαι, ποτὲ δὲ αὔξεσθαι.

Μήνυνθα. παρὰ τὸ μηνύθω, μήνυθα, καὶ πλεονασμῷ τοῦ ν̄, μήνυνθα[54]).

Μῦς. παρὰ τὸ μῦσος[55]).

Μόρος. παρὰ τὸ μείρω, τὸ μερίζω, ὁ μεμερισμένος ἑκάστῳ.

Μήλη. παρὰ τὸ μήσω μέλλοντα. μήδω δὲ, οὗ παθητικὸν μήδομαι, δηλοῦν τὸ ἐργάζομαι. μήλη οὖν, ἡ πολλῶν κατὰ τὴν ἰατρικὴν ἐργάτις.

Μῶμος. παρὰ τὸ μῶ, οὗ μέλλων μώσω. δηλοῖ δὲ τὸ ζητῶ. μῶμος οὖν, ὁ ἀεὶ ἐπιζητῶν, καὶ μηδὲν τῶν ἄλλων ἱκανὸν εἶναι νομίζων, ἀλλ᾽ ἐνδεῖν τοῦ κρείττονος, ἀεὶ πᾶν ὁτιοῦν λέγων καὶ διασύρων.

Μακκοᾶν. παρὰ τὸ μὴ κοεῖν, ὅ ἐστι νοεῖν. καὶ συνθέτως τὸ μὴ κοεῖν μακκοᾶν ἔλεγον. ὅθεν[56]) θυοσκόος ὁ μάντις, ἀπὸ τῶν θυομένων κοῶν, καὶ νοῶν τὸ μέλλον.

Μακάριος. ὁ μὴ κηρὶ, τουτέστι τῇ φθορᾷ ὑποκείμενος. οἱ δὲ πλεονάζειν λέγουσι τὸ μα, κάριος καὶ μακάριος, οἷον ἄλευρον μάλευρον. εἴρηται οὖν ἀκάριος ὁ μὴ φθορᾷ ὑποκείμενος.

Μάκτρα. παρὰ τὸ μάττειν ἐν αὐτῇ τὴν μάζαν.

Μέλισσα. παρὰ τὸ μέλλειν[57]). οἰκονομικὸν γὰρ τὸ ζῶον. ἢ μελιζά τίς[58]) ἐστιν, ἡ πᾶσιν ἐφιζάνουσα τοῖς καρποῖς[59]).

Μῆλον λέγεται[60]) κατὰ πάντων τῶν καρπῶν. καὶ πολύμηλος γῆ, ἡ πολύκαρπος.

---

47) ζηθῶ] Idem vitium, pro ζητῶ, tetigi supra not. 15. Etiam glossam Μασταί habes in Codice modo laudato.

48) τὸ κὴρ] Bastius, qui ad Gregor. de Dialectis p. 574. edit. Schaefer. totum Orionis locum attulit, simpliciter dedit κὴρ, omisso articulo. Neque facile eum desideret quis.

49) ἐν δὲ συγκοπῇ, μάκαρς] Eustathius ad Odyss. Ε. p. 1542, 30. μάκαρ, μάκαρος, μακάριος· ἐξ οὗ κατὰ συγκοπὴν ὁ μάκαρς, πρὸς ὁμοιότητα τοῦ ἅλς ὁ ἐκ θαλαττίου ὕδατος συμπαγεὶς, οὗ προϋπάρχει ὁ ἄλος. διὸ καὶ κλίνεται ὥσπερ ὁ ἅλς ἁλτὸς, καὶ ἐξωθήσει τοῦ τ̄, ἁλὸς, διὰ κανόνα γραμματικὸν, οὕτω καὶ μάκαρς μάκαρος. Larcher. Excerpta ex Orione p. 615, 15. Μακάριος, ὁ μὴ κηρὶ ὑποκείμενος. οἱ δὲ πλεονάζειν λέγουσι τὸ μ̄· κὴρ κάριος καὶ ἀκάριος. Vide Orionem infra in voc. Μακάριος.

50) μεῖτρον καὶ μέτρον] Corrige: μέρτρον καὶ μέτρον. Vid. Etymolog. M. p. 527, 47. Larcher.

51) Μαστροπός] Saepius legitur per ω̄ μέγα scriptum. Eadem, quae Orion habet, reperiuntur in Etymologico MS. Biblioth. Regiae, cum hoc additamento: οὕτως ἐν Ὑπομνήματι τῶν Σώφρονος Ἀνδρείων. [Idem additamentum est in Codice Havniensi 1971, sed vitiose scriptum: τῶν σωφρόνων ἀνδρείων. quod vitium corrigere debueram in Annotationibus ad Etymolog. M. p. 959. Sturz.] Sophron, Syracusanus, coaetaneus Euripidis, scripsit Mimos in viros et feminas oratione soluta et dialecto Dorica. Sophronis Mimi in viros laudantur ab auctore Etymologici M. p. 66, 50. et p. 668, 2. Vide Suidam in Σώφρων, et Salmasium Exercitatt. Plinian. p. 76. b. inprimisque Henr. Valesium ad Ammian. Marcellin. XXIII. 5. p. 277. vbi non solum agit de Sophrone, sed etiam de aliis mimographis et mimis celebribus. Larcher.

52) μελαίαν] Lege μελέαν. Versus ex Euripidis Meleagro ab Etymologici M. auctore p. 522, 30. seruatus, rationem affert etymi ab Orione propositi. Subiunxi eum, vt correxit summus Valckenaer in Diatribe Euripidea p. 158.

Μελέαγρε· μελέαν γάρ ποτ᾽ ἀγρεύσεις ἄγραν.

Larcher.

*) ζητεῖν ἐν ἑαυτῷ τι] Excerpta ex Orione p. 616, 14. ζητεῖν ἐν αὐτῷ τι. τὸ γὰρ μεταλλῶ, ἐπιζητῶ ἐστί.

53) μέλην est vox nihili. Rescribo μύλην, molam. Larcher.

54) Μήνυνθα — μήνυθα — μήνυνθα] Scribe Μίνυνθα — μίνυθα — μίνυνθα. Error ortus est ex vitiosa pronuntiatione. Larcher.

55) παρὰ τὸ μῦσος] Etymologicum MS. Biblioth. Regiae: Μῦς· διὰ τὸ τοῦ μύσους ἐρᾶν, ἤτοι τῆς ἀκαθαρσίας. Larcher. Excerpta p. 615, 15. post verba παρὰ τὸ μῦσος addunt: ὅ ἐστι βδέλυγμα.

56) ὅθεν θυοσκόος κ. τ. λ.] Hinc suos irrigauit hortulos Scholiastes Aristophanis ad Equitt. 62. qui vitio laborat, quod facili medicina curari potest: ὅθεν θυοσκόος. ἢ παρὰ τὸ θύω, τὸ κοῶ, ὃ σημαίνει τὸ νοῶ. Lege: ὅθεν θυοσκόος· παρὰ τὸ θύω, καὶ τὸ κοῶ, ὃ σημαίνει τὸ νοῶ. Larcher.

57) μέλλειν] Lege μέλειν. Vid. Etymolog. M. p. 523, 34. Larcher. Etiam in Excerptis p. 615, 18. legitur μέλειν, et post οἰκονομικὸν γὰρ additur καὶ ἐπιμελὲς, perspicuitatis causa.

58) μελιζά τις] Aliquid deest, quod facile suppleri potest ope Etymologici M. p. 523, 35. ἐκ τοῦ μῆλον, ὃ σημαίνει πάντα τὸν καρπὸν, μηλιζά κ. τ. λ. Larcher. Immo nihil nisi μηλιζά τις reponendum puto. Vid. deinceps not. 60.

59) τοῖς καρποῖς] Legendum est, vt in Etymologico M. scriptum reperitur, τοῖς μήλοις. Larcher.

60) Μῆλον λέγεται κ. τ. λ.] Non est noua glossa, sed explicatio vocis ex nostra emendatione praecedentis. Huic coniecturae fauet Etymologicon MS. Biblioth. Regiae, in quo legitur: ἡ μέλισσα, οἱονεὶ μέλιζα, ἡ πᾶσιν ἐφιζάνουσα τοῖς καρποῖς· μῆλα

Digitized by Google

Μένος. ἡ δύναμις. παρὰ τὸ μένω ῥῆμα καὶ παραμένω, ὡς παρὰ τὸ σθένω σθένος.

Μοχλός. παρὰ τὸ ὁμοῦ καὶ τὴν κλεῖν ἔχειν ὠνομᾶσθαι, ὡς ἅμα αὐτῷ τὴν κλεῖν ἔχειν[61]). οὕτω Φιλόξενος ἐν τῇ περὶ Ῥωμαίων διαλέκτῳ[62]). ἀλλαχοῦ δὲ φησὶ, παρὰ τὸ μόλω μοχλός, πλεονασμῷ τοῦ χ. ὁ δὲ Ἡρωδιανὸς παρὰ τὸ ὄχω τὸ συνέχω. ἐπεὶ καὶ Ὅμηρος ὀχῆα λέγει τὸν μοχλόν.

Μόρφνος. ἐπὶ τοῦ ἀετοῦ. Ὁμήρῳ[63]). παρὰ τὸ μάρπτω ἐσχημάτισται· μαρπνὸς, ὡς στίλβω στιλπνὸς, τροπῇ τοῦ α εἰς η, καὶ μεταθέσει τοῦ π. μόρφνος ὁ ταχὺς καὶ δυνατὸς καταλαβεῖν. οἱ δὲ φασὶ φόνιος, οἷον μοροφόνος, ὁ μεμοιρημένος καὶ πεπονημένος περὶ τοὺς φόνους, καὶ συγκοπῇ, μόρφνος.

Μέγεθος. παρὰ τὸ μέγα μέγαθος, καὶ μεταθέσει τοῦ α εἰς ε, μέγεθος, ὡς βάλλω βάλλος καὶ βέλος.

Μιαρός. παρὰ τὸ μίασμα, καὶ μιαίνω ῥῆμα. τὸ δὲ μιαρὸς παρώνυμον.

Μίς[64]). ὡς παρὰ τὸ ῥήσσω, ῥηγμὶς, οὕτω παρὰ τὸ μειῶ μίς. δισύλλαβον ἐσχημάτισται μακρῶς ἅμα καὶ ὀξυτόνως. παρὰ δὲ τὸ μεῖος εἴρηται, ὅτι μειουμένης εἰς ἄκρον τῆς σελήνης, πληροῦται ὁ μήν. οὕτω Φιλόξενος ἐν τῇ περὶ Ἰάδος διαλέκτῳ[65]).

Μήν. παρὰ τὸ μεῖος. ὁ αὐτὸς ἀνὴρ οὕτω φησὶ, μεῖος μειὴν, καὶ συγκοπῇ, μήν· ἀφ᾽ οὗ καὶ ἡ μήνη.

Μῆτις. παρὰ τὸ μήδω, μήσω μέλλων. ῥηματικὸν ὄνομα μῆσις. καὶ μεταθέσει τοῦ σ εἰς τ, μῆτις. ἀπὸ δὲ τοῦ μήδος[66]) τὸ μῆδος, καὶ βασιλεῖς οἱ μέδοντες παρὰ τὸ μήδω ὁμοίως, οἷς εὐβουλίας δεῖ· ὅθεν βουληφόροι εἴρηνται.

Μακεδνός. Ὁμήρῳ[67])· μακεδνῆς αἰγείροιο. μῆκος, μηκεδανὸς, καὶ μακεδνὸς, καὶ μακεδνή.

Μολοβρός. συγκοπῇ, μολόβορός τις ὤν. παρὰ τὸ ἐπὶ τὴν βορὰν μολεῖν.

Μάχη. παρὰ τὸ ἄχος, πλεονασμῷ τοῦ μ, ὡς ἴα μία.

Μειδιᾶν. παρὰ τὸ μεῖον γελᾶν.

Μαυροῦσι. κατ᾽ ἀντίφρασιν τοῦ μαίρω, δηλοῦντος τὸ λάμπω.

Μάραγδος. παρὰ τὸ μαίρω, οὗ παράγωγον μαράσσω[68]), ὄνομα μάραγδος· τὸ διαυγὲς μάραγδον ἔλεγον οἱ παλαιοί.

Μαρμαρυγή. μαίρω ἐστὶ ῥῆμα. ἀφ᾽ οὗ μαρμαίρω ἕτερον ὄνομα[69]). παράγωγον μαρμαιρύζω. ῥηματικὸν ὄνομα μαρμαρυγή. ὡς καὶ ἀπὸ τοῦ ἁρπάζω ἁρπαγὴ, ὀλολύζω ὀλολυγὴ, καὶ ἀπὸ τοῦ μαρμαρύζω μαρμαρυγή. οὕτω Φιλόξενος ἐν τῷ περὶ Ἀναδιπλασιασμοῦ.

Μυκήνη. μύκης ἐστὶν ἡ λαβὴ τοῦ ξίφους, καὶ ἀπὸ τοῦ μύκητος τοῦ ξίφους Περσέως ἐκλήθη ἡ πόλις Μυκήνη.

Μασχάλη. σχῶ σχήσω[70]), ὡς στήσω στήλη, καὶ μεταθέσει τοῦ η εἰς α, σχάλη, καὶ κατ᾽ ἀναδιπλασιασμὸν τῆς μα συλλαβῆς, μασχάλη.

Μασῶμαι. παρὰ τὸ σῶ, ὃ δηλοῖ τὸ σείω καὶ κινῶ, ἀφ᾽ οὗ τὸ σήθω, καὶ προσλαβὼν[71]) τὴν μα συλλαβὴν ἐποίησε τὸ μασσῶμαι, τὸ εἰς λεπτὰ τὴν τροφὴν κερματίζειν καὶ κατακόπτειν. οὕτω Φιλόξενος ἐν τῷ περὶ Ἀναδιπλασιασμοῦ.

Μάχλος. παρὰ τὸ χαλῶ, μαχαλὸς, πλεονασμῷ καὶ συγκοπῇ μάχλος, ὁ καταφερὴς, καὶ παρωνύμως μάχλας.

Μαθεῖν. μήθω ἐστὶ ῥῆμα. ἀφ᾽ οὗ ἔμαθον δεύτερος ἀόριστος, καὶ μαθεῖν β ἀόριστος.

Μοιχός. τὸ ν τρέπεται εἰς μ, ὡς ἐν τῷ μοιχὸς[72]) ἀντὶ τοῦ νυχὸς, ὁ ἐσώτατος τόπος καὶ σκοτεινός. τροπὴ δὲ ἐστὶν ἀντὶ στοίχου[73]), καὶ νῦν ἐν τῷ μοιχῷ ἀπὸ τοῦ οἶκος καὶ τοῦ στερητικοῦ, ἢ ὁ στερημένος[74]), καὶ ἔξω ὢν τοῦ οἴκου. τὸ δὲ νω στερητικὸν κατὰ μετάθεσιν τοῦ ο εἰς ω, ὡς ἐν τῷ νώσος[75]) παρὰ τοῦ ἐστερῆσθαι τοῦ σώθω.

γὰρ κατὰ πάντα εἴρηται οἱ καρποὶ τῶν βοτανῶν. ὅθεν καὶ πολύμηλος γῆ. LARCHER. Haec coniectura quum mihi probetur, malim δὲ vel γὰρ poni inter Μῆλον et λέγεται.

61) παρὰ τὸ ὁμοῦ καὶ — ὠνομᾶσθαι, ὡς — ἔχειν] Haec lectio praeferenda videtur ei, quae est in Etymol. M. p. 536, 11. vbi καὶ deest, et ὃς — ἔχει legitur. Dicitur enim μοχλὸς deriuandum esse ex adverbio ὁμοῦ et formula τὴν κλεῖν ἔχειν, et pronomini relatiuo locus esse non potest. Sed pro ὠνομᾶσθαι vix dubium est quin reponendum sit ὠνόμασται.

62) διαλέκτῳ] Nemo non videt, διαλέκτου esse scribendum. Conf. paulo post not. 65. Pro sequentibus verbis, ἀλλαχοῦ δὲ φησὶ, παρὰ τὸ μόλω μοχλός, in Excerptis p. 615, 20. est: ἄλλοι δὲ, παρὰ τὸ μολῶ μολὸς καὶ μοχλός.

63) Ὁμήρῳ] Iterum vt not. 34. malim παρ᾽ Ὁμήρῳ, vel Ὅμηρος. STURZ. Locus est Iliad. Ω. 316. *Aristot.* Hist. Anim. IX. 32. ἕτερον δὲ γένος ἀετοῦ ἐστιν, ὃ πλάγγος καλεῖται. — οἰκεῖ δὲ βήσσας καὶ ἄγκη καὶ λίμνας· ἐπικαλεῖται δὲ νηττοφόνος καὶ μορφνός· οὗ καὶ Ὅμηρος μέμνηται ἐν τῇ Πριάμου ἐξόδῳ. Vide *Scholia Homeri Villoisoniana* ad l. l. vbi multa habes lectu digna. LARCHER.

64) Μὶς — μίς] Corrige Μεὶς — μείς. Vid. Etymolog. M. p. 528, 4. LARCHER.

65) διαλέκτῳ] Rursus διαλέκτου scribendum esse monui not. 62.

66) ἀπὸ δὲ τοῦ μήδος] Malim ἀπὸ δὲ τοῦ μήδω, vt est in Codice Havn. 1971. Vid. Annotationes ad Etymol. M. ad p. 530. v. 4. Nimirum vt a futuro μήσω deducitur nomen μῆσις, ita μῆδος a μήδω. Ex eodem codice fortassis etiam paulo post scribendum est μήδοντες pro μέδοντες.

67) Ὁμήρῳ] Vid. not. 63. ST. Locus est Odyss. Π. 106. LARCHER.

68) μαίρω, οὗ παράγωγον μαράσσω] Deest aliquid. Nam παράγωγον τοῦ μαίρω non potest esse μαράσσω. Corrige μαίρω, τὸ λάμπω, ὁ μέλλων μαρῶ. οὗ παράγωγον μαράσσω. Vid. Etymolog. M. p. 653, 56. LARCHER.

69) ἕτερον ὄνομα] Dele vocem ὄνομα, quae turbat sensum. LARCHER.

70) σχῶ σχήσω] Deest aliquid. Corrigo σχῶ σχήσω σχήλη. Etymologicum MS. Biblioth. Regiae: Μασχάλη· παρὰ τὸ εἰς μασθὸν χαλᾶσθαι· ἢ παρὰ τὸ σχῶ σχήσω σχάλη· καὶ πλεονασμῷ τῆς μα συλλαβῆς, μασχάλη, ἡ λίαν κατέχουσα ἅτινα ἂν σχῇ· ἢ ἀπὸ τοῦ χαλᾶσθαι εἰς μασθόν· ἢ εἰς ἣν χαλᾶται ὁ μῦς (musculus)· ἢ ἀπὸ τῆς ἀλαίας τῆς διὰ τὴν καμπὴν τοῦ σώματος. οὕτω Σωρανός. ὁ δὲ Ἡρακλείδης ἀπὸ τοῦ μαστεύειν τι ὑπ᾽ αὐτήν· ἐπειδὴ οἱ ὑφαιρούμενοι τὶ ὑπ᾽ αὐτὴν κρύπτουσι. LARCHER. Pro ἀλαίας legendum videtur ἀλέας. Conf. not. 46.

71) προσλαβὼν] Patet, προσλαβὸν scribendum esse.

72) ἐν τῷ μοιχὸς] Lego ἐν τῷ μυχός. Vid. Etymolog. M. p. 540, 15. LARCHER.

73) ἀντὶ στοίχου] Corrigendum puto στοιχεῖον ἀντὶ στοιχείου.

74) στερημένος] Tolle soloecismum, scribens ἐστερημένος. Conf. infra ad Νωθεῖς.

75) νώσος — τοῦ σώθω] Corrigo νόσος — τοῦ σώου. Nam teste auctore Etymologici M. p. 550, 32. νόσος deduci debet παρὰ τὸ ἐστερῆσθαι τοῦ σώου. LARCHER. Conf. infra in Νόσος. Sed tota haec ῥῆσις, a verbis τὸ δὲ νω στερητικὸν vsque ad τοῦ σώθω, videtur mihi partim pluribus locis vitiose scripta, quum non τοῦ ο εἰς ω, sed τοῦ ω εἰς ο scribendum sit, praeeuntibus auctore Etymologici M. p. 550, 33. et *Zonara* in Lexico p. 1406. partim ab hoc loco aliena.

Digitized by Google

Μακρός. παρὰ τὸ μῆκος ἐστὶ μηκὸς[76]), καὶ μακρὸς, τροπῇ τοῦ η εἰς α, ὡς κύδρος κυδρὸς[77]), ψύχος ψυχρός.

Μέγεθος. παρὰ τὸ μέγα, μέγαθος καὶ μέγεθος.

Μεγαίρω. παρὰ τὸ μέγα. οἱ γὰρ[78]) μεγάλοι φθονοῦνται διὰ τὸν πλοῦτον, ἢ τὴν ἀρετήν. μεγαίρω μεγαρτοὶ, ὡς καθαίρω καθαρτὸς, ἀκάθαρτος.

Μερμερίζειν[79]). παρὰ τὸ μείρω, ἀφ' οὗ τὸ μέρος ὄνομα. παρὰ τοῦτο μερίζω, διπλασιασμὸς μερίζω[80]). οἱ γὰρ φροντίζοντες μερίζονται τὴν γνώμην.

Μέριμνα. παρὰ τὸ μερίζω μέριδνα, ὡς λεπίζω λέπαδνα, καὶ τροπῇ τοῦ δ εἰς μ, μέριμνα. οὕτως Ἡρωδιανὸς ἐν Ἐπιμερισμοῖς.

Μέρμερα[81]). παρὰ τὸ μείρω, τὸ μερίζω, ἀφ' οὗ τὸ φροντίζω, οἷον τὰ φροντίδος ἄξια.

Μέρμις. παρὰ τὸ εἴρω, ἔρμα ἐστὶ καὶ ἕρμις, πλεονασμῷ τοῦ μ, μέρμις.

Μεστός. ἕω ἐστὶ τὸ πληρῶ. ἐπεὶ κεῶμεν κορέσσω πολέμοιο[82]). ἕω, ἕσω, ἑστὸς, πλεονασμῷ τοῦ μ, μεστός.

Μάκαρ. παρὰ τὴν κῆρα. ὁ μὴ κηρὶ ὑποκείμενος.

Μάραθον. κατὰ ἀποβολὴν τοῦ ν. μάρανθον γὰρ ἐστὶ, παρὰ τὸ μαραίνειν εὐθέως τὸ ἄνθος.

Μελεδήματα. παρὰ τὸ ἔδειν τὰ μέλη καὶ βλάπτειν.

Μέλαν. παρὰ τὸ μὴ, καὶ τὸ λάον, τὸ μὴ βλέπον, ἢ τὸ μὴ βλεπόμενον. λάειν γὰρ τὸ μὴ[83]) βλέπειν. ὅθεν ὁ λαὸς ὁ τυφλός.

Μαλλός. ἀπὸ τοῦ μήλου, τοῦ δηλοῦντος τὸ πρόβατον, καὶ πλεονασμῷ τοῦ ἄλλου λ, μαλλός.

Μεμαὼς καὶ μεμαυῖα. παρὰ τὸ μῶ, οὗ παράγωγον τὸ μένω, ὃ δηλοῖ τὸ προθυμοῦμαι. ὅθεν τὸ μαίμονα[84]) μέσου παρακειμένου, ὃς ἀεὶ φυλάττει τὸ σύμφωνον τοῦ ἐνεστῶτος· πείθω, πείσω, πέπεικα, καὶ πέποιθα κατ' Αἰολέας. τρέπουσι γὰρ τὴν ει δίφθογγον εἰς τὴν οι δίφθογγον οἱ μέσοι[85]). μέμονα οὖν. ὁ γὰρ ἐνεργητικὸς μέμακα, ἀποβαλλομένου τοῦ ν, ὡς πέπλυκα, κέκλικα. τὰ γὰρ εἰς νω ῥήματα δισύλλαβα ἐνὶ φωνήεντι παραληγόμενα ἀποβάλλει τὸ ν κατὰ τὸν παρακείμενον.

Μύρεσθαι. παρὰ τὸ ῥεῖν τὰ δάκρυα. ἔνθεν τὸ ἀλ μυριέντων[86]), παρὰ τὸ μύρεσθαι καὶ ἕλκεσθαι ἐν τῷ γίνεσθαι[87]).

Μελδόμενος. ὁ τηκόμενος κνίσσῃ, παρὰ τὸ τὰ μέλη ἔδειν καὶ ἐσθίειν. ἀφ' οὗ τὸ ἀνκλίσκειν καὶ τήκειν.

Μόθος. παρὰ τὸ ὁμοῦ θεῖν τοὺς μαχομένους[88]).

Μῶλος. ἀποβολὴ ἐστὶ τοῦ α. ἄμωλος γὰρ ἐστὶ, παρὰ τὸ ἅμα ὀλλῦναι. Ὅμηρος[89])· ξυνὸς Ἐνυάλιος, καί τε κτανέοντα κατέκτα.

Μαντική. μαντική τις ἐστίν· οἷον ζητητικὴ τῶν ἐσομένων[90]), καὶ οὐκ ἐστὶ τὴν μανίαν, ὥς τινες[91]).

ΑΡΧΗ ΤΟΥ Ν.

Νόσος. παρὰ τὸ ἐστερῆσθαι τοῦ σώου. τὸ γὰρ νω στερητικόν· κατὰ δὲ μεταβολὴν τοῦ νω εἰς νο γίνεται[92]).

Νώροψ. ὁ μὴ ἐῶν ἐφορᾶν εἰς αὐτὸν τὴν ὄψιν, διὰ τὸ ἄγαν λαμπρόν. ἀμαυροῖ γὰρ τὴν ὄψιν τὰ πάνυ λαμπρά· οἱ δὲ διὰ τὸ διαχεῖν τὴν ὄψιν ἐν τῷ ὁρᾶν.

Νέκταρ. τὸ συνέχον αὐτὸ ἐν νεότητι, οἷον νεόεκταρ[93]).

---

76) *μηκός*] Legendum est *μηκρός*. Nam si esset *μηκὸς*, mutato η in α existeret *μακὸς*, non *μακρός*. LARCHER.

77) *κύδρος κυδρός*] Sequentia postulant, vt scribatur *κῦδος κυδρός*. Accedit Codicis Havniensis 1971. auctoritas. Vid. Annotationes ad Etymolog. M. ad p. 520. v. 17. Conf. Etymolog. M. p. 492, 30.

78) *οἱ γὰρ μεγάλοι φθονοῦνται*] Optime *Sophocles* in Aiace vers. 154.

τῶν γὰρ μεγάλων ψυχῶν ἱεὶς
οὐκ ἂν ἁμάρτοι· . . . . .
. . . .
πρὸς γὰρ τὸν ἔχονθ' ὁ φθόνος ἕρπει.

LARCHER.

79) *Μερμερίζειν*] In Etymologico M. legitur tantum forma *μερμηρίζειν*.

80) *διπλασιασμὸς μερίζω*] Corrige *διπλασιασμὸς μερμερίζω*, καὶ τροπῇ τοῦ ε εἰς η, *μερμηρίζω*. Vid. Etymol. M. p. 526, 28. LARCHER.

81) *Μέρμερα*] De vocabulo *μέρμερος* vide *Ruhnkenium* ad *Timaei* Lexicon Platon. p. 178. LARCHER.

82) *ἐπεὶ κεῶμεν κορέσσω πολέμοιο*] Locus mire corruptus. *Orion* respicit verba *Homeri* Iliad. *Τ*. 402. *ἐπεί χ' ἕωμεν πολέμοιο*. vbi in Codice MS. Lipsiensi, teste *Ernestio*, glossema superscriptum est *κορεσθῶμεν*. Glossema hoc corruptum irrepsit in textum, vt fieri solet. LARCHER. Scribendum igitur est apud *Orionem* ἕω (bis). ἕσω, ἑστός.

83) *λάειν γὰρ τὸ μὴ βλέπειν. ὅθεν ὁ λαὸς ὁ τυφλός*] Vel legendum est *ἀλάειν γὰρ τὸ μὴ βλέπειν. ὅθεν ἀλαὸς ὁ τυφλός*. vel potius *λάειν γὰρ τὸ βλέπειν· ὅθεν ἀλαὸς ὁ τυφλός*. *Schol. Homeri* ad Odyss. *Τ*. 229. *ὁ δὲ Κράτης λάων φησὶν, ἀντὶ τοῦ βλέπων· ὅθεν κατὰ στέρησιν, ἀλαὸς ὁ τυφλός*. LARCHER. Bene Excerpta p. 615, 25. *Μέλαν. παρὰ τὸ μὴ λάειν, ὅ ἐστι βλέπειν· ὅθεν ἀλαὸς ὁ τυφλός.*

84) *μαίμονα*] Corrige *μέμονα*. LARCHER.

85) *οἱ μέσοι*] nempe *παρακείμενοι*.

86) *ἀλ μυριέντων*] Legendum omnino est *ἁλιμυρηέντων*, quod est epitheton fluuiorum in mare delabentium magno cum murmure. Vid. *Eustath.* ad *Homer.* p. 1250, 42. LARCHER.

87) *καὶ ἕλκεσθαι ἐν τῷ γίνεσθαι*] Ista non pertinent ad *μύρεσθαι*, sed potius spectant vocem *μήρινθος*. Vid. Etymolog. M. p. 529, 34. Librarius duas glossas confudit. LARCHER.

88) *Μόθος. παρὰ τὸ ὁμοῦ θεῖν τοὺς μαχομένους*] Haec loco mota transferenda sunt ad *ὄθος*, quod supra paulo post initium literae *M* legitur, vbi incuria librarii omissa fuere. LARCHER.

89) *Ὅμηρος*] Locus est Iliad. *Σ*. 309. LARCHER.

90) *οἷον ζητητικὴ τῶν ἐσομένων*] Quomodo efficere *Orion* possit, vt *μαντικὴ*, siue *ars diuinandi*, sit tanquam *ζητητικὴ τῶν ἐσομένων*, id est, *ars inuestigandi futura*, exputare non possum. Meliora docebit auctor Etymologici M. p. 520, 27. LARCHER. Pro *μαντική τις*, quod ferri nequaquam potest, legendum puto *ματητική τις*. Ita cohaerebit oratio. Nam *ματεῖν* significat *ζητεῖν*.

91) *ἐστὶ τὴν μανίαν, ὥς τινες*] Suspicor *Orionem* scripsisse: *ἐστὶ ἀπὸ τοῦ τὴν μανίαν πάσχειν τοὺς μάντεις, ὥς τινες*. vel potius: *ἐστὶ παρὰ τὴν μανίαν, ὥς τινες*. LARCHER.

92) *τοῦ νω εἰς νο γίνεται*] Corrige *τὸ νω εἰς νο γίνεται*. LARCHER. Hanc crisin nullo modo probandam puto. Immo sanus est locus. Nam *γίνεται* pertinet ad *Νόσος*.

93) *τὸ συνέχον αὐτὸ ἐν νεότητι, οἷον νεόεκταρ*] Ex Etymolog. M. p. 544, 13. corrige: *τὸ συνέχον τοὺς πίνοντας αὐτὸ ἐν νεότητι, οἷον νεόεκταρ*. Eadem leguntur in Etymologico MS. Bibliothecae Regiae. LARCHER.

Digitized by Google

διόπερ ὁ βῆ[94]) αὐτὸ κιρνᾷ· οἱ δὲ παρὰ τὸ στέρεσθαι τοῦ κτᾶσθαι[95]) καὶ φονεύεσθαι τοὺς πίνοντας, οἷον τοῦ θανεῖν· ἀφ' οὗ τὸ ἀθάνατον δηλοῦσθαι.

Νωλεμέως. κατὰ μετάθεσιν τοῦ π̄ εἰς μ̄, οἷον νωλεπέως, κατὰ στέρησιν τοῦ λείπεσθαι καὶ παύεσθαι, οἷον ἀδιαλείπτως.

Νότος. παρὰ τὸ νόθους ποιεῖν τοὺς καρποὺς καὶ χείρους· οἷον ὀνοτοὺς ποιεῖν αὐτοὺς, καὶ ἀφανίζειν.

Νόθος. ὀνοτός τις ὢν, κατ' ἀποβολὴν τοῦ ō, καὶ τροπῇ τοῦ τ̄ εἰς θ̄.

Νοῦς[96]). παρὰ τὸ νῆσσα[97]), καὶ σωρεῦσαι ἀπὸ τῶν ἐντιθεμένων αὐτῇ φορτίων· οἱ δὲ παρὰ τὸ νεῖσθαι.

Νυστάζειν· οἷον νευστάζειν. παρὰ τὸ νεύειν κάτω διὰ τὴν τοῦ ὑπτίου καταφοράν.

Ναστός. ὁ πεπιλημένος ἄρτος· ἀπὸ τοῦ νάσσεσθαι ἀρτύμασι τισὶν καὶ τραγήμασι[98]).

Νύμφη. ἡ νέον φαινομένη. ὡς παρὰ τὸ νέος νύος, οὕτω παρὰ τὸ νέη νύμφη. καὶ ἔγκειται τὸ φῶ, ὅπερ τὸ φαίνω σημαίνει.

Νέρθεν. ἀποβολῇ τοῦ ε̄, παρὰ τὴν ἔραν, ἔνερος, ἐνέρεθεν, ἔνερθεν, συγκοπῇ νέρθεν.

Νύσσα. παρὰ τὸ νεύω νεύσω, καὶ ἀποβολῇ τοῦ ε̄, καὶ πλεονασμῷ τοῦ σ̄, νύσσα. οἱ δὲ παρὰ τὸ νύσσω, ἐπεὶ ἐκεῖ νύσσονται οἱ ἵπποι.

Νίκη. ἀποβολῇ τοῦ ε̄, ἡ ἐνὶ γινομένη, ἐνίκη[99]) τις οὖσα.

Νίτρον. παρὰ τὸ νίζω νίτρον, ὡς φέρω φέρτρον, ὡς μάσσω μάκτρον, πλήσσω πλῆκτρον.

Νεαρός[100]). παρὰ τὸ κῆρ νεκηρὸς καὶ νεκρὸς, ὁ τῆς ψυχῆς ἐστερημένος, παρὰ τὸ νη στερητικόν. καὶ ὡς ἵππος ἵππυς, κότος κότυς, νεκρὸς καὶ νέκρυς, καὶ ἀποβολῇ τοῦ ρ̄, νέκυς.

Νηδύς. ἀπὸ τοῦ διανενῆσθαι τὰ τῆς τροφῆς, ὅ ἐστι σεσωρεῦσθαι καὶ πεπληρῶσθαι· ἢ ὅτι ἐπάρδευσις τῷ σώματι τῆς τροφῆς ἀπὸ ταύτης γίνεται. νάειν γάρ ἐστι τὸ ῥεῖν.

Νῆστις. ἔντερον οὕτω[1]), οἷον νηστιτὴς[2]), παρὰ τὸ κενὸν εἶναι σιτίων· καὶ ὁ νῆστις ὁμοίως ἄνθρωπος, παρὰ τὸ αὐτὸ, καὶ τὸ νηστεύειν, παρὰ τὸ στερεῖσθαι σιτίων.

Νεφροί. παρὰ τὸ νείφεσθαι τῷ οὔρῳ, ὅ ἐστι βρέχεσθαι. φέρεται γὰρ εἰς αὐτούς[3]). τὸ δὲ νείφειν κυρίως ἐπὶ τῶν ὑδάτων τοῦ νιφετοῦ, καὶ ἐπὶ τῆς ἐκ νέφους καταφορᾶς τῶν ὑδάτων.

Νέφος. οἷον νεφάος[4]), τὸ ἐστερημένον φωτός. ἢ παρὰ τὸ νήφειν[5]). οὕτω Φιλόξενος.

Νήπιος. παρὰ τὸ ν̄ στερητικόν[6])· κατὰ στέρησιν τοῦ εἰπεῖν καὶ καλεῖν, οἷον νὴ ἔπιος[7]).

Νῶτος. ἐπειδὴ τῶν ἄλλων μερῶν νοτίζεται μᾶλλον, καὶ ἐς τοῦτο τὸ μέρος ὁ ἱδρὼς καταρρεῖ, ὥστε τροπὴ εἶναι τοῦ ο εἰς ω̄. καὶ παρ' Ὁμήρῳ[8])· κατὰ δὲ νότιος ῥέεν ἱδρώς. ἀντὶ τοῦ κατὰ νῶτον ἐφέρετο.

Νάνος. παρὰ τὸ ἄνω, δηλοῦν τὸ αὔξω. ἄνω ἄνος νάνος, ὁ μὴ αὐξανόμενος. ἔγκειται γὰρ τὸ ν̄ στερητικόν[9]). νάνος νήανος.

Νάπυ. κατὰ στέρησιν τοῦ ἠπίου, διὰ τὴν δριμύτητα.

Νεῖκος. τὸ τοῖς νέοις ἐοικός.

Νεῖλος. παρὰ τὸ νέος παρνῆται[10]), νεῖλός τις ὢν, ὁ ἀεὶ νέαν ἄγων ἰλὺν ἐν τῇ ἀναβάσει[11]). ὅτι κατ' ἔτος νέος φαίνεται.

Νέαιρα. τὸ ἔσχατον τῆς κοιλίας. νέον νέατον τὸ ἔσχατον. ὅθεν καὶ λαγὼν παρὰ τὸ λήγειν. Ἡρωδιανὸς ἐν Ὀρθογραφίᾳ.

Νήφω. παρὰ τὸ νήφω[12]). ἀπὸ τῆς τοῦ ὕδατος προφορᾶς. οἱ γὰρ τούτῳ κεχρημένοι νηφάλιοι, καὶ νηφάλια θύειν λέγεται, ὅταν ἐπισπένδωσιν οἶνον[13]).

Νάρθηξ. ἰατρικὸν τεῦχος[14]). καταχρηστικῶς δὲ τὸ ἐξ οἵας δήποτε ὕλης.

Νωθρός. νω καὶ νη στερητικὰ μόρια, ὁ τοῦ θορεῖν ἐστερημένος. ὅ ἐστιν ὀξέως κινεῖσθαι.

---

94) ὁ βῆ] Istud lectionis monstrum procurare facile est. Lege ἡ Ἥβη. Vid. Etymolog. M. l. l. LARCHER.

95) κτᾶσθαι] Lege κτάσθαι, vt sit infinitiuus ex aoristo secundo medio ἐκτάμην. Ideo παροξυτόνως scribendum est. Κτάσθαι significat *occidi*, *interfici*. *Hesychius*: Κτᾶσθαι· (Hic quoque scribo Κτάσθαι·) ἀναιρεθῆναι, κτανθῆναι. Etymologicum MS. Biblioth. Regiae: Νέκταρ· παρὰ τὸ κτῶ, τὸ σημαῖνον τὸ κτείνω, γίνεται κτάρ· καὶ μετὰ τῆς στερήσεως, νέκταρ, τὸ θεῖον πόμα, ὅπερ τοῖς κτεινομένοις καὶ θνητοῖς οὐ δίδοται. LARCHER.

96) Νοῦς] Legendum est Ναῦς, vt sequentia euincunt. LARCHER.

97) νῆσσα] Corrige νῆσαι, *cumulare*. LARCHER.

98) *Tzetzes* ad *Lycophronis* versum 640. ναστός· κυρίως ἄρτος στζυμωθεὶς μετὰ μέλιτος, καὶ σταφίδων, καὶ ἑτέρων εἰδῶν. Vide *Hesychium* in Ναστός et ibi interpretes. LARCHER.

99) ἐνίκη] Melius in Etymologico M. p. 549, 47. legi videtur ἐνεῖκη.

100) Νεαρός] Lege Νέκυς vel Νεκύς. LARCHER. Fortasse rectius corrigas Νεκρός. Excerpta ex *Orione* p. 615, 30. Νεκρός. παρὰ τὸ κῆρ, ὅ ἐστι ψυχὴ κ. τ. λ. Vnde etiam κῆρ pro κὴρ scripsi in *Orione*.

1) ἔντερον οὕτω] Adde λεγόμενον ex Etymolog. M. p. 548, 18. vel καλούμενον cum Etymologico MS. Biblioth. Regiae. LARCHER.

2) οἷον νηστιτὴς] Legendum est οἱονεὶ νήσιτις. Vid. Etymolog. M. l. l. LARCHER.

3) φέρεται γὰρ εἰς αὐτούς] Adde τὸ οὖρον cum Etymologici M. auctore p. 545, 42. LARCHER.

4) οἷον νεφάος] Hinc corrigendum est Etymologicon M. p. 545, 44. LARCHER.

5) παρὰ τὸ νήφειν] Cum Etymologico M. p. 545, 45. lege παρὰ τὸ νείφειν τὸ βρέχειν. Ita etiam est in Etymologico MS. Biblioth. Regiae. LARCHER.

6) ν̄ στερητικόν] Lego νη στερητικόν. LARCHER. Conf. not. 9.

7) νὴ ἔπιος] Potius vno verbo legerim νηέπιος. Etymolog. M. pag. 547, 16. παρὰ τὸ νη στερητικὸν καὶ τὸ εἰπεῖν γίνεται νηέπιος. LARCHER.

8) παρ' Ὁμήρῳ] Locus est Iliad. Ψ. 715. LARCHER.

9) Etiam hoc loco νη στερητικόν legendum est. Conf. not. 6. et Etymolog. M. p. 511, 28.

10) παρνῆται] Corrigo παρῆκται, vt scriptum est in Etymologico MS. Biblioth. Regiae. LARCHER.

11) ἐν τῇ ἀναβάσει] Vel ἐν τῇ καταβάσει legendum est, quia Nilus descendit ex Aethiopia, vel ἐν τῇ βάσει, vt legitur in Etymologico MS. Bibliothecae Regiae. LARCHER.

12) παρὰ τὸ νήφω] Delendae mihi aliquando videbantur istae voces. Sed legendum potius est παρὰ τὸ νείφω cum Etymologico M. p. 518, 34. LARCHER. Sequenti λέγεται praeferrem λέγονται.

13) ὅταν ἐπισπένδωσιν οἶνον] Corrige ὅταν ἐπισπένδωσιν ὕδωρ. Nam ἱερὰ νηφάλια sunt *sacra a quibus vinum arcetur*. LARCHER.

14) Post τεῦχος desunt haec: κυρίως τὸ ἐκ νάρθηκος γεγενημένον. Vid. Etymolog. M. p. 541, 53. LARCHER.

Digitized by Google

Ναχελής. τὸ χ ἀντὶ τοῦ κ. νακελής τις ὤν, ὁ μὴ κέλλων. κέλλειν δὲ τὸ ταχέως τρέχειν· ἀφ' οὗ καὶ κέλες[15]), δρομικὸς πῶλος.

Νέκυς. κικὺς, ἡ δύναμις, καὶ κλίνεται, κικύος. ὁ ἐστερημένος ἐξ αὐτοῦ κικύος[16]).

Νότος. ὁ ἄνεμος. ἀπὸ τοῦ νοτεῖν καὶ τῆς νοτίδος. αὕτη δὲ ἡ νοτὶς ἀπὸ τοῦ νεῖσθαι. οὕτως ὁ Ἡρακλείδης.

Νύξ. παρὰ τὸν γινόμενον ἐκ τῶν προκόψεων[17]) τοῦ σκότου[18]) νυγμόν. αὐτὸ δὲ τὸ νύξαι ἀπὸ τοῦ νύσσω, τοῦ δηλοῦντος τὸ πλῆξαι.

Νέος. ἀπὸ τοῦ νέεσθαι καὶ ἔρχεσθαι εἰς αὔξεσιν[19]), ἢ παρὰ τὸ ὁρμᾶσθαι· ὁρμῆς γὰρ ἡλικία ἀνάπλεως.

Νεοῦν. ἀπὸ τοῦ νέαν ἀναλαμβάνεσθαι τὴν γῆν ἀπὸ τῆς ἀροτριάσεως.

Νεῦρον. παρὰ τὸ νεῖσθαι ἅπαν τὸ κινούμενον[20]) καὶ ἐπὶ πάντα προϊὸν ἐν ἡμῖν. τί γὰρ ὁρμητικώτερον νοῦ;

Νόσφι. παρὰ τὸ νο στερητικὸν καὶ τὸ ἕπεσθαι. ὥπερ[21]) γὰρ ὁ χωριζόμενος οὐκ ἀκολουθεῖ τινὶ καὶ οὐ σύνεστιν· ἐχωρίζετο γάρ· οὕτω τὸ νόσφι τὸ χωρὶς εἶναι τοῦ ἕπεσθαι.

Νήχω. νῶ καὶ νέω. ἔστι δὲ τὸ κολυμβῶ, προθέσει τοῦ χ καὶ μεταθέσει τοῦ ε εἰς η, νήχω. Φιλόξενος.

Νῆσος. παρὰ τὸ νῶ, οὗ μέλλων νήσω, δηλοῦν τὸ νήχομαι. πᾶν γὰρ μέρος ἔχει ἐν τῇ θαλάσσῃ, ὥσπεραν τῶν σωμάτων τὰ νηχόμενα.

Ναῦς. παρὰ τὸ νέω, ὁμοίως τὸ κολυμβῶ. παράγωγον νεύω, νεύσω ὁ μέλλων, ὡς παρὰ τὸ χέω χεύσω, οὕτω νεύσω, νεὺς καὶ ναῦς, τροπῇ τοῦ ε εἰς α. οὕτω Φιλόξενος.

Νεβρός. παρὰ τὸ νη καὶ νε, ὁ μὴ δυνάμενος βορὰν λαβεῖν, νεβορός τις ὤν, ἀλλ' ὁ γάλακτι τρεφόμενος.

Νᾶμα. παρὰ τὸ νῶ τὸ ῥέω, οὗ μέλλων νάσω, νάμα, ὡς δράσω δράμα.

Ναρόν. παρὰ τὸ αὐτὸ ῥῆμα, νῶ, νάσω, ναρόν. Σοφοκλῆς Τρωΐλῳ· ναρός ναρὰ[22]) δὲ κρηναῖα χωροῦμεν ποτά. οὕτω Φιλόξενος ἐν τῷ περὶ μονοσυλλάβων ῥημάτων. καὶ ἴσως ἡ συνήθεια[23]) τρέψασα τὸ α εἰς ε, λέγει νερόν[24]).

Νόμος. παρὰ τὸ νέμω ῥῆμα. ὁ νέμων πᾶσι τὸ δέον.

Νεογνός. συγκοπῇ. νεόγονός τις ὤν, ὁ νεοστὶ[25]) γενόμενος.

Νειός. ἡ ἀρόσιμη[26]) γῆ. παρὰ τὸ νεῶ. ἀνανεοῦται γὰρ ἡ γῆ ἀρουμένη.

Νείφω. παρὰ τὸ νέφος. ἀφ' οὗ γίνεται ἡ καταφορὰ τοῦ ὕδατος.

Νωθεὶς[27]). ὁ στερημένος[28]) τοῦ θεῖν.

Νώκαρ. τὸ δυσκίνητον καὶ οὐδ' ὁπωσοῦν ἐῤῥωμένον· σκαίρω γάρ ἐστι ῥῆμα. ἀποβολῇ τοῦ σ, καίρω, καὶ μετὰ τῆς νω στερήσεως, νωκαίρω, καὶ ἀποβολῇ τοῦ ω[29]), νῶκαρ. ἔγκειται δὲ τὸ νω στερητικόν. σκαίρω δὲ τὸ τρέχω, ἀφ' οὗ καὶ τὸ εὔκαρθμος[30]), καὶ εὐκάρθμοιο Μυρίνης[31]).

Νῆϊς. εἴδω ἐστὶ ῥῆμα, οὗ μέλλων εἴσω καὶ εἴσομαι· ἀποβολῇ τοῦ ω, καὶ τοῦ ε, ἴς, καὶ μετὰ τῆς νη στερήσεως, νῆϊς.

Νῆσσα. παρὰ τὸ νέω τὸ κολυμβῶ, νέσα καὶ νῆσσα, τροπῇ τοῦ ε εἰς η.

Νῆττης[32]). παρὰ τὸ ἔδω τὸ ἐσθίω, οὗ μέλλων ἔσω ἔστης, καὶ μετὰ τοῦ στερητικοῦ νε, νεέστης, οὗ παρώνυμον νήστης. οὕτως Ἡρωδιανός.

Νυίς[33]). ἡ νύμφη. παρὰ τὸ νέος, τροπῇ τοῦ ε εἰς υ, νυός. οὕτως Ἡρωδιανὸς ἐν Ἐπιμερισμοῖς ὀξυτόνως. ὥσπερ τὸ νῆϊς βαρυτόνως δηλοῖ τὸ ἄπειρος, νῆϊς ἀέθλων[34]), οὕτω καὶ νηΐς ὀξυτόνως ἐπὶ τῆς Ναΐδος[35]),

---

15) κέλες] Lege κέλης. Larcher.

16) κικὺς — κικύος] In Etymologico M. p. 543, 56. scribitur κίκυς κίκυος. Sed ex eodem verba *Orionis* ita fere constituenda sunt: ἐξ αὐτοῦ μετὰ τοῦ νε στερητικοῦ γίνεται νέκικυς, ὁ ἐστερημένος κικύος (siue κίκυος), κατὰ συγκοπήν, νέκυς.

17) προκόψεων] Fortasse legendum est προσκοπῶν (a προσκοπή) vel προσκόψεων. Nam, vt ait auctor Etymologici M. p. 552, 3. dicitur παρὰ τὸ προσκόπτειν καὶ πλήττεσθαι τοὺς βαδίζοντας ἐν αὐτῇ τῇ ὥρᾳ. Vide *Helladii* Chrestomathiam in *Photii* Bibliotheca p. 1593, 32. (p. 23. edit. *Meurs.*) Larcher.

18) τοῦ σκότου] Legendum est τῷ σκότει, vt reperitur in Etymologico MS. Biblioth. Regiae. Larcher.

19) αὔξεσιν] Scribe αὔξησιν. Larcher.

20) Νεῦρον] Coniicio *Orionem* scripsisse Νόος. Etymolog. M. p. 549, 29. Πόθεν νόος; παρὰ τὸ νέω τὸ πορεύομαι· οὐδὲν γὰρ ταχύτερον τοῦ νοός. Quae enim apud *Orionem* sequuntur, non pertinent ad τὸ νεῦρον. Quare omnino legendum puto: Νοῦς (vel Νόος). παρὰ τὸ νεῖσθαι τὸ πάντοτε κινούμενον κ. τ. λ. Larcher. Immo duae glossae male sunt in vnam conflatae, et sic scribi debent: Νεῦρον. παρὰ τὸ νεῖσθαι δι' ὅλου τοῦ σώματος. Νοῦς. παρὰ τὸ νέεσθαι· ὁ πανταχόσε κινούμενος, καὶ ἐπὶ πάντα προϊὼν κ. τ. λ. Vid. Excerpta ex *Orione* p. 615, 36. vbi post προϊὼν haec addita sunt: ὡς Ὅμηρος· ὥστε πτερὸν ἠνόημα. quae quam corrupta sint, manifestum est. Sed ex Odyss. *H.* 36. facile restituuntur ita: ὡσεὶ πτερὸν ἠὲ νόημα.

21) ὥπερ] Legendum est ὥσπερ, quod ad sequens οὕτω referatur.

22) ναρὸς ναρὰ] Corrige πρὸς ναρὰ, vt est in Etymologico M. p. 511, 45. Vid. *Brunckii* Lexicon Sophocleum in voce Ναρόν. Larcher.

23) ἡ συνήθεια] idem est quod τὸ σύνηθες, *vulgaris usus, communis loquendi consuetudo.* Quae locutio saepissime reperitur in libris Grammaticorum. Larcher.

24) νερὸν] Graecis recentioribus est *aqua.* Nempe ναρὸν, νηρὸν, νερὸν, vt ξηρὸν, ξερόν. Larcher.

25) νεοστὶ] Scribe νεωστὶ κ. τ. λ. Larcher.

26) ἀρόσιμη] Lege vel ἀροσίμη, vel potius ἀρόσιμος.

27) Νωθεὶς] Lege Νωθής. Larcher.

28) στερημένος] Scribe ἐστερημένος, vt supra in voc. *Μοιχός.*

29) ἀποβολῇ τοῦ ω] Scribendum videtur ἀποβολῇ τοῦ ι καὶ τοῦ ω, vt in Etymologico M. p. 551, 11.

30) εὔκαρθμος] Lege εὔσκαρθμος. Larcher.

31) εὐκάρθμοιο Μυρίνης] Lege εὐσκάρθμοιο Μυρίνης. Est enim pars versus *Homeri* Iliad. *B.* 814. vbi nunc legitur πολυσκάρθμοιο Μυρίνης. Larcher.

32) Νῆττης] Scribendum puto Νήστης, vt paulo post νήστης.

33) Νυίς] Lege Νυός. Etymologicum MS. Biblioth. Regiae: Νυοὺς (scribe Νυός)· νύμφη, ἡ τοῦ υἱοῦ γυνή. παρὰ τὸ νέος· τροπῇ τοῦ ε εἰς υ, νυός. Ἡρωδιανὸς ἐν Ἐπιμερισμοῖς. Larcher.

34) *Homerus* Odyss. Θ. 179. ἐγὼ δ' οὐ νῆϊς ἀέθλων. Larcher.

35) νηῒς ὀξυτόνως ἐπὶ τῆς Ναΐδος] Etymol. M. p. 547, 5. ἐπὶ δὲ τῆς νύμφης, ὀξυτόνως. Larcher.

Digitized by Google

ἄπειρος γάμων. οἱ δὲ κατὰ παράλειψιν τοῦ ῡ φασὶ ἦνις τὸ πρωτότυπον, οἷον νεάνις, καὶ πρῶτον ἐπὶ[36]) τὸ νεάνις· εἶτα κατὰ συναλοιφὴν, νῆνις, καὶ ἀποβολῇ τοῦ ν, νῆϊς· οἱ δὲ παρὰ τὸ νάω τὸ ῥέω· οὕτως Ἡρωδιανὸς ἐν Ἐπιμερισμοῖς.

Νέεσθαι. κυρίως πορεύεσθαι καὶ πλεῖν ἐπὶ θαλάσσης, καταχρηστικῶς δὲ καὶ ἐπὶ γῆς.

Νύμφη. ἡ νέα φαινομένη. ὡς παρὰ τὸ νέος νυός. οὕτω καὶ παρὰ τὸ νέον ἡ νύμφη, καὶ ἔγκειται τὸ φῶς[37]), ὅπερ σημαίνει τὸ φαίνω.

ΑΡΧΗ ΤΟΥ Ξ.

Ξύνιον. ἡ μεταφορὰ ἀπὸ τῶν ἐπὶ σκοπὸν βαλλόντων. ξυνίειν γὰρ τὸ ἐπὶ τὸ αὐτὸ τῇ τοῦ συμβουλεύοντος φέρεσθαι γνώμῃ.

Ξίφος. παρὰ τὸ ξέειν[38]). οὕτως εὗρον ἐν Ὑπομνήματι[39]). . . .

Ξύλον. παρὰ τὸν ξύσω μέλλοντα. οὐδεμία γὰρ ὕλη πρὸς ξύσιν ἐπιτηδειοτέρα τοῦ ξύλου. οὕτως Φιλόξενος.

Ξηρόν. παρὰ τὸ ξέω. ἀπὸ μεταφορᾶς τῆς ὕλης τῶν ξύλων. εἴ τι γὰρ ἔξυσται, ξηρὸν γίνεται. τροπῇ τοῦ ϑ εἰς η[40]). οὕτω Φιλόξενος[41]).

Ξυρόν. παρὰ τὸ ξύω, ξυρόν.

Ξόανον. παρὰ τὸ ξέω ξέανον, καὶ τροπῇ τοῦ ε εἰς ο, ξόανον.

Ξέστης. Ῥωμαϊκόν ἐστι τὸ ὄνομα. τὸ[42]) γὰρ παρ' ἡμῖν ἓξ ἀριθμὸν αὐτοὶ λέγουσι σέξ. καὶ μέτρου τινὸς παρ' αὐτοῖς τὸ ἕκτον λέγεται σέξτον· διὰ δὲ εὐφωνίας[43]) τὸ σέξτης λέγεται ξέστης, μεταθέσει τοῦ ξ. οὕτω Φιλόξενος ἐν τῷ περὶ Ῥωμαίων διαλέκτου[44]).

ΑΡΧΗ ΤΟΥ Ο.

Ὅρκος. παρὰ τὸ ἐπαρκεῖν καὶ βοηθεῖν. ὥσπερ γὰρ βοηθήματι αὐτῷ χρῶνται οἱ ἀδικούμενοι. κατὰ μετάθεσιν τοῦ α εἰς τὸ ο. ὡς ἐν τῷ ἀκριόεις[45]), παρὰ τὰς ἄκρας καὶ ἐξοχὰς, καὶ Ὄθρυς τὸ ὄρος, οἷον ἄθρυς, ὅθεν ἐστὶ μακρότερον[46]). οἱ δὲ παρὰ τὸ εἴργω. ἐπισχετικὸς γάρ ἐστι παραβαινόντων· ὥστε εἶναι μετάθεσιν τοῦ γ εἰς τὸ κ. ὡς παρὰ τὸ γῆρυς κηρύσσω. ἐγὼ δὲ, φησὶν Ἡρωδιανὸς, ἡγοῦμαι πλεονασμὸν εἶναι τὸ κ[47]). ὅρος γάρ τι[48]) ἐστίν. οἱ γὰρ ὀμνύντες ὁρίζονται καὶ ὁμολογοῦσιν.

Οἰωνός. ὅτι καὶ χωρὶς μίξεως πέφυκε πολλάκις τίκτειν ἐξ ἀνέμου. κυρίως δὲ φασὶν ἐπὶ γυγῶν[49]) τοῦτο τὸ ἐξ ἀνέμου μᾶλλον τίκτεσθαι αὐτούς. ὠὰ ὑπονέμια[50]) τίκτουσι. οἱ δὲ, ὅτι μόνοι οὐκ ἀγεληδὸν ἵπτανται ὥσπερ οἱ ἄλλοι.

Ὀρεὺς[51]). παρὰ τὸ ἐν ὄρεσι μᾶλλον δύνασθαι ἐργάζεσθαι. οἱ δὲ παρὰ τὸ ὀρῶδες[52]) ἔχειν τὸ σπέρμα καὶ μὴ τίκτειν, ἀλλ' ἐξ ἵππου καὶ ὄνου τίκτεσθαι. ἱστορεῖ δὲ Ἀριστοτέλης, ὅτι ἐν Σικελίᾳ[53]) ἔτεκεν ἡμίονος.

Ὀμίχλη. ἀπὸ τοῦ τοῖς ὄμμασι παρέχειν ἀχλύν. οἱ δὲ[54]), ὁμοείλη τις ἐστὶ, παρὰ τὴν ὁμοῦ εἴλησιν τῶν νεφῶν.

---

36) ἐπὶ in ἐστὶ mutandum puto. Sed ne sic quidem sanus videtur locus. Nam praecedens ἦνις quomodo huc pertineat, non perspicio. Immo νῆϊς legendum arbitror, vel νῆϊς, vt paulo post scriptum est.

37) τὸ φῶς] Legendum est τὸ φῶ. Etymolog. M. p. 551, 57. οὕτω καὶ παρὰ τὸ νέος καὶ τὸ φῶ τὸ φαίνω, γίνεται νεόμφη· καὶ συγκοπῇ καὶ τροπῇ, νύμφη, ἡ νέον φαινομένη. LARCHER. Etiam Excerpta ex *Orione* p. 615, 11. habent ἡ νέον φαινομένη.

38) παρὰ τὸ ξέειν] Etymologicum M. p. 553, 6. παρὰ τὸ ξαίειν. Scilicet stirps horum verborum est ξάω, cui vicina sunt ξέω, ξίω, ξόω, ξύω. LARCHER.

39) ἐν Ὑπομνήματι] Desideratur nomen libri, in cuius commentario etymon *Orion* repererit. LARCHER.

40) τροπῇ τοῦ ϑ εἰς η] Cum Etymologici M. auctore p. 553, 4. corrige τροπῇ τοῦ ε εἰς η. LARCHER. Ibi vero legitur: κατὰ τροπὴν τοῦ η εἰς ε, ξερόν. Vide quae ibidem ex *Philemone* attuli.

41) Φιλόξενος] Cum Etymologico MS. Biblioth. Reg. adde: ἐν τῷ περὶ μονοσυλλάβων ῥημάτων. LARCHER.

42) τὸ γὰρ — ἀριθμὸν] Manifestum est, τὸν pro τὸ legendum esse.

43) διὰ δὲ εὐφωνίας] Corrigendum est διὰ δὲ εὐφωνίαν. Et sic reperitur in Etymologico M. p. 553, 56. LARCHER.

44) Quum totam *Orionis* glossam auctor Etymologici M. l. l. exscripserit, patet ibi Ὠρίων pro Ὦρος esse scribendum. LARCHER.

45) ἀκριόεις] Librarii vitium est. Scribe ὀκριόεις. Conf. infra in voc. Ὄκνος.

46) ὅθεν ἐστὶ μακρότερον] Adde ἀθρεῖν. Ex hoc *Orionis* loco corrigendum est Etymologicon M. p. 558, 18. vbi male editum est ὅθεν ἐστὶν ἀθροῖσαι. Scribe ἀθρῆσαι. LARCHER. Ita iam *Sylburgius* emendauerat. Quare nihil ibi monui.

47) τὸ κ] Mallem τοῦ κ.

48) ὅρος γάρ τι] Legendum est ὅρος γάρ τις.

49) ἐπὶ γυγῶν] Corrige ἐπὶ γυπῶν, vt in Etymologico M. p. 561, 39. legitur: Οἰωνός, ὄρνις, ὁ γύψ. Etymologicum MS. Biblioth. Regiae: Οἰωνός· ὄρνις, γύψ, ὅτι κατὰ χωρισμὸν μίξεως πέφυκε πολλάκις τίκτειν. Idem alibi: Οἰωνός, ὡς παρὰ τὸ κοινῶ κοινώσω κοινωνός, οὕτω καὶ ἀπὸ τοῦ οἰῶ τὸ μονῶ ὁ μέλλων οἰώσω, καὶ ἐξ αὐτοῦ οἰωνός. μόνον γὰρ τὸ ζῶον αὐλίζεται. LARCHER.

50) ὑπονέμια] Repone ὑπηνέμια. Sed fortassis etiam γὰρ ante ὑπηνέμια inserendum est.

51) Ὀρεὺς] notus est ex *Homeri* Iliad. *A*. 50. Hinc mirum nobis accidit, quod in vertendo *Libanio* ad vocabulum ὀρέων, tanquam ad scopulum, offenderit *Bongiovanni* in Oratione I. p. 8. οὕτω δή τι πολὺν ἀργύριον (immo ἄργυρον), ὡς συχνῶν τε δεῖν ὀχημάτων ἑκάστῳ, καὶ πολλῶν ὀρέων καθ' ἕκαστον, οὓς ἠνάγκαζε τὰ ἑλκόμενα στένειν. Quae verba parum feliciter vertit: *tantam argenti copiam quisque secum asportarunt, vt ei traducendo singuli multis curribus* pluribusque montibus (ad se resque suas tutandas) *egerent, et ob id omnes maxime sollicitt angerentur.* Haec vox ὀρέων de *mulis* est accipienda. Hinc vertere debebat: *multisque mulis egerent.* LARCHER. Sequens μᾶλλον non extat in Excerptis ex *Orione* p. 615, 45.

52) ὀρῶδες] Legendum omnino est οὐρῶδες, *ventosum, sterile.* Vid. *Eustath.* ad *Homer.* Iliad. *A*. pag. 42. LARCHER. Vide etiam Οὐρῆας infra.

53) ἐν Σικελίᾳ] Fortasse legendum est ἐν τῇ Συρίᾳ, vt legitur in vulgatis editionibus *Aristotelis* Hist. Animal. VI. 24. LARCHER. In Excerptis p. 615. extr. legitur ἐν Κιλικίᾳ.

54) οἱ δὲ] Vel subaudiendum vel addendum est λέγουσιν ὅτι.

Digitized by Google

Ὄνειρος. ἤτοι παρὰ τὴν ἔνησιν, ἢ οἷον παρὰ τὸ ὀνῶ ὄνειρος, ὡς παρὰ τὸ πέτω πέτειρος. ἢ παρὰ τὸ εἴρειν καὶ λέγειν, ἢ κατὰ μετάθεσιν τοῦ ō, νεκρός τις ὤν.

Οὐρούς. τὰ νεώρια. διὰ τὸ ἐπ᾽ αὐτῶν ὀρούειν τὰς ναῦς.

Ὅμαδος. ὅμαυδος τις ὤν[55].

Ὀφείλημα. παρὰ τὸ ὠφέλειν[56]), ὅ ἐστιν αὔξεσθαι τὸ δάνειον τὸ αὐξανόμενον τόκῳ.

Οἶτος. ὁ θάνατος. παρὰ τὸ οἶ καὶ οἴμοι τοῦ στεναγμοῦ[57]). παρὸ καὶ τὸν μόχθον δηλοῖ. ὁ δὲ Ἡρωδιανὸς ἐν τοῖς Ἐπιμερισμοῖς λέγει, παρὰ τὸ οἴω, οὗ ὁ μέλλων οἴσω, τὸ δηλοῦν τὸ φέρω. ὁ πάντας ἀποφέρων θάνατος.

Οὐλαμός. ἡ συνεστραμμένη τάξις. παρὰ τὸ εἰλεῖσθαι. ὅθεν καὶ τὰς τρίχας οὔλας φαμέν.

Ὄρτεξ[58]). παρὰ τὸ ἕρπειν πεποίηται καὶ τὸ ὀρούειν.

Ὄκνος. ὁ ποιῶν ἀκινήτους. τροπῇ τοῦ ā εἰς ō, οἷον ἀκινός τις ὤν, καὶ συγκοπῇ ἄκνος καὶ ὄκνος, ὡς ακριόεις ὀκριόεις, ἀρχὴ ἄρχαμος ὄρχαμος.

Ὀλοφυρόμενος. κυρίως τὸ μετὰ τιλμοῦ τῶν τριχῶν κλαίειν. Καλλίμαχος φησί· ὀλόψατο[59]) χαίτας, ἀντὶ τοῦ ἔτιλλεν.

Ὀτρηρός. ὁ ἀφ᾽ ἑαυτοῦ παροτρυνόμενος πάντα ποιεῖν.

Ὅπλα τὰ ἐργαλεῖα. ὀφελήματά τινα ὄντα. οἷς τὰ ἐξελαυνόμενα ἐπὶ τοῦ ἄκμονος αὔξεται καὶ ὀφέλλεται.

Ὀβελίσκος. ὀφελίσκος τίς ὤν, ὁ εἰς μῆκος ὀφελλόμενος καὶ ἐξελαυνόμενος *).

Ὄσσε. οἱ ὀφθαλμοί, παρὰ τὴν ἔσιν καὶ βολὴν τῆς ὄψεως.

Ὄρχατος. ἡ ἐπ᾽ εὐθείας φυτεία, παρὰ τὸ δι᾽ αὐτῆς ἡμᾶς ἔρχεσθαι.

Ὀρχός. ὅπου ἐντίθεται τὸ φυτόν. ὀρυχός τις ὤν.

Ὄχνη. ἡ ἀχνὰς[60]), οἷον ἀχοή, διὰ τὸ μὴ ποτίζεσθαι. ξηρᾷ γὰρ ἥδεται γῇ ἡ ὀπώρα αὕτη καὶ ἄπιος[61]), ἢ ἥκιστα πίνουσα.

Οἴμη. ἡ ᾠδή. παρὰ τὸ ἐν τοῖς οἴμοις, τουτέστιν ἐν ταῖς ὁδοῖς ᾄδεσθαι.

Οἶμος. ἡ ὁδός. παρὰ τὸ οἰμῆσαι[62]). ὁ δὲ Φιλόξενος παρὰ τὸν οἴσω μέλλοντα.

Ὀρχήσασθαι. παρὰ τὸ ὀρέγειν καὶ ἐκτείνειν τὰς χεῖρας. ἢ παρὰ τοὺς ὄρχους, ἐν οἷς ἐχόρευον, καὶ ὁ χορός, ὀρχός τις ἐστί, κατὰ μετάθεσιν στοιχείου.

Ὅρμος. παρὰ τὸ ἔρμα τὸ ἀσφάλισμα. ὅθεν καὶ ὁρμῆσαι, τὸ ἐν ἀσφαλῇ εἶναι τὴν ναῦν[63]).

Ὀπύειν[64]). ὁμιλεῖν, συνουσιάζειν. παρὰ τὸ εἰς ὄπα ἐλθεῖν. ἢ κατὰ μετάθεσιν τοῦ μ̄ εἰς π̄, ὀμύειν, ὁμοῦ συνιέναι.

Ὀλοφώϊος[65]). παρὰ τὸ φῶτας ὀλλύειν, οἷον ὀλοθρευτικόν.

Ὄσσετο θυμός[66]). ἀπὸ δ᾽ ὄσσων[67]) τῶν ὀφθαλμῶν. οἷον προεωρᾶτο, τουτέστιν ἡ κατ᾽ ἐπίνοιαν πρόγνωσις[68]).

Ὅμος[69]) ὁ περιτραχήλιος κόσμος. παρὰ τὸ εἴρεσθαι. Ὅμηρος[70])· μετὰ δὲ λέκτροισι ἔερτο.

Οὐλή. Ἡρωδιανὸς ἀπὸ τοῦ εἰλῶ τὸ συστρέφω, οἷον ἡ συνεστραμμένη σάρξ. τὸ γοῦν ἐναντίον, ἀπὸ τοῦ διαλῦσαι ἕλκος. οὐλὴ οὖν ἡ συναχθεῖσα σάρξ, ἀπὸ τοῦ ἑλῶ, ὀλὴ καὶ οὐλή.

Ὄαροι. αἱ γαμεταί, ὁμοίαροί τινες οὖσαι. παρὰ τὸ ὁμοῦ ἀρηρέναι γάμῳ.

Οὖλαι. αἱ τρίχες. παρὰ τὸ εἰλεῖσθαι, ὡς καὶ αἱ ἐναντίαι τεταναὶ λέγονται, παρὰ τὸ τετᾶσθαι[71]).

Ὄγμος. ἡ ἐπίστιχος φυτεία τῶν δένδρων. κατὰ μετάθεσιν τοῦ ē εἰς ō, οἷον ἔγμος, παρὰ τὸ ἔχεσθαι ἄλλο ἄλλου, ὅπερ καὶ ἐπισχερῶ[72]) λέγεται, παρὰ τὸ σχέσιν ἔχειν πρὸς ἄλληλα. δηλοῖ δὲ ὁμοίως τὴν τομὴν τοῦ ἀρότρου, παρὰ τὸ εἰδέσθαι τὴν γῆν ἀπὸ τοῦ ἀροῦντος[73]).

Ὁμιλεῖν. ἐπὶ τοῦ πολεμεῖν. παρὰ τὸ ὁμοῦ τὰς ἴλας[74]) συλλαβεῖν.

---

55) ὅμαυδός τις ὤν] Ex Etymologico M. p. 565, 19. adde παρὰ τὸ πολλοὺς ὁμοῦ αὐδᾶν. Larcher.

56) ὠφέλειν] Legendum est ὀφέλλειν. Larcher.

57) τοῦ στεναγμοῦ] Adde ἐπίῤῥημα, vt est in Etymologico M. p. 561, 28. Larcher. Mallem etiam τὸ pro τοῦ. In Etymol. M. rursus male legitur Ὧρος pro Ὠρίων. Conf. not. 44.

58) Ὄρπεξ] Lege Ὄρπηξ. Larcher.

59) ὀλόψατο] Legendum est αἰλόψατο. Vel memoriter Orion laudauit verba Callimachi, vt sentit Ernesti ad Callim. Hymn. in Dian. 77. vel potius est fragmentum operis alicuius deperditi. Glossa Orionis totidem verbis reperitur in Etymologico MS. Bibliothecae Regiae. Larcher.

*) ἐξελαυνόμενος] Repone ἐξαυξόμενος. Est tamen ἐξελαυνόμενος etiam in Excerptis ex Orione p. 615, 53.

60) ἀχνὰς vox nihili est. Lege ἀχρὰς cum Etymologico M. p. 585, 47. Larcher.

61) ἡ ὀπώρα αὕτη καὶ ἄπιος] Vel punctum ponendum est post ὀπώρα, vel potius post αὕτη, vt in Etymologico MS. Biblioth. Regiae reperitur. Sed suspicor deesse aliquid, et ex Etymologico M. p. 585, 49. legendum esse: ἔστι δὲ καὶ ἄλλη ἑτέρα, ἥτις καὶ ἄπιος καλεῖται, αἱονεὶ ἡ ἥκιστα πίνουσα. Qui tamen post ὀπώρα interpungendum putat, ita vt post verba αὕτη καὶ ἄπιος subaudiatur λέγεται, potest Scholiasta Theocriti vti ad Idyll. I. 134. Ὄχνας· ἤγουν ἄπια. Larcher.

62) παρὰ τὸ οἰμῆσαι] Adde τὸ σημαῖνον τὸ ὁρμῆσαι. Vid. Etymolog. M. p. 560, 55. et 56. Larcher.

63) ὁρμῆσαι, τὸ ἐν ἀσφαλῇ εἶναι τὴν ναῦν] Cum Etymologico M. p. 572, 32. legendum est ὁρμίσαι, τὸ ἐν ἀσφαλείᾳ εἶναι τὴν ναῦν. Larcher. Mihi ὁρμῆσαι verum videtur, sed ab ὁρμέω deriuandum. Pro ἐν ἀσφαλῇ multo facilius reponatur ἐν ἀσφαλεῖ.

64) Ὀπύειν] Scribi alias solet Ὀπυίειν.

65) Ὀλοφώϊος κ. τ. λ.] Consentit cum Orione auctor Etymologici M. p. 564, 36. Etymologicum MS. Biblioth. Regiae: Ὀλοφώϊος. ὀλέθρια βουλεύματα, οἷον ὀλοποιά, πανοῦργα. Ὀλοφώϊον θηρίον· παρὰ τὸ φῶτας ὀλλύειν, ἤτοι ἄνδρας, οἷον ὀλοθρευτικά. Hinc patet, vocem ὀλοφώϊος proprie dici de animalibus noxiis, quae homines necant, et male ab Ernestio ad Callimachi Hymn. in Dian. vers. 77. iudicari deriuandam esse ab ὀλόπτειν. Larcher.

66) Ὄσσετο θυμός] Orion respicit Homeri Odyss. K. 374.

ἀλλ᾽ ἥμην ἀλλοφρονέων, κακὰ δ᾽ ὄσσετο θυμός.

Larcher.

67) ἀπὸ δ᾽ ὄσσων] Lege ἀπὸ τῶν ὄσσων.

68) προεωρᾶτο, τουτέστιν ἡ κατ᾽ ἐπίνοιαν πρόγνωσις] Forsan cum Etymologico M. p. 576, 2. legendum est προεώρα, τουτέστι κατὰ ψυχὴν προσεδέχετο, οἷον ἡ κατ᾽ ἐπίν. πρόγν. Larcher.

69) Ὅμος] Legendum est Ὅρμος. Larcher.

70) Homeri locus Odyss. O. 459. mire deprauatus est in Orione, sic vero legendus: μετὰ δ᾽ ἠλέκτροισιν ἔερτο. Larcher.

71) τετᾶσθαι] Scribendum est τετάσθαι.

72) ἐπισχερῶ] Immo ἐπισχερὼ scribi debet.

73) εἰδέσθαι τὴν γῆν ἀπὸ τοῦ ἀροῦντος] Cum Etymologico M. p. 556, 41. corrige οἴγεσθαι τὴν γῆν ὑπὸ τοῦ ἀροῦντος. Larcher.

74) τὰς ἴλας] Codex male habet τὰς ἴχας. Vide infra Ὅμιλος. Larcher.

Digitized by Google

Ὀκλαδίαι καὶ ὀκλάζειν. παρὰ τὸ ἐγκλᾶν, καὶ κάμπτειν τὰ γόνατα ἐν τῷ καθέζεσθαι. καὶ τὸ ὀκλὰξ ἐπίῤῥημα, παρὰ τὸ κλῶ κλάσω, ῥηματικὸν ὄνομα κλὰς, καὶ κατὰ Δωριέας κλάξ. τρέπουσι γὰρ πολλάκις τὸ σ εἰς ξ. καὶ πλεονασμῷ τοῦ ο.

Ουρος. ὁ Φύλαξ. κυρίως ἐπὶ τῶν ὁρίων τεταγμένος Φύλαξ καὶ προορῶν, ὃς καὶ Φρουρὸς λέγεται· πρόορός τις ὤν.

Οὖρος. ἐπὶ ἀνέμου· παρὰ τὸ ὀρούειν καὶ ὁρμῆς αἴτιον εἶναι.

Οἰήϊον. τὸ πηδάλιον [75]). δι' οὗ Φέρεται ἡ ναῦς. οἴω τὸ Φέρω οἴσω. ἢ κατ' ἔλλειψιν τοῦ κ, οἰήκιον, καὶ οἰήϊον. οἴαξ δὲ ὁ κανών, δι' οὗ τὸ πηδάλιον Φέρεται.

Ὀμφαλός. κυρίως ἐπὶ τοῦ ἡμετέρου σώματος εἴρηται ὀμπνεῖν, ὅ ἐστιν ἀναπνεῖν· παρ' οὗ καὶ ὄμπνη ὁ Δημητριακὸς καρπός [76]). τὸ δὲ βρέφος κατὰ γαστρὸς ὂν διὰ τοῦ ὀμφαλοῦ ἀναπνεῖ καὶ τρέφεται. μεταφορικῶς δὲ καὶ ἐπὶ τοῦ ζυγοῦ καὶ ἐπὶ τῆς ἀσπίδος, καὶ ἐπὶ τῶν ἄλλων τὸ μέσον.

Ὀδύναι. παρὰ τὸ ἔδειν καὶ ἐσθίειν τὴν ψυχήν.

Ὄρθρος. παρὰ τὸ αἴρειν ἡμᾶς λεχήρεις ὄντας [77]). ὅθεν ἦρι ὁμοίως ἔλεγον παρὰ τὸ αἴρειν.

Οὗας. αὔω αὔας· τροπῇ τοῦ α εἰς ο, οὖας.

Ὀβελός. πλεονασμῷ τοῦ ο, παρὰ τὸ βάλλω βέλος, καὶ ὀβελός. οὕτως ἐν τῷ περὶ Παθῶν Ἡρωδιανός. οἷον ὁ ἐοικὼς βέλειν [78]).

Οὖλος. ὁ ὀλέθριος. παρὰ τὸ ὄλλω καὶ ὀλλύω [79]).

Οὐρά. κυρίως ἐπὶ τοῦ λέοντος, παρὰ τὸ ὄρω τὸ ὁρμῶ· παρορμητική τις οὖσα [80]), καὶ πλεονασμῷ τοῦ υ, οὐρά.

Οὐλοχύται. παρὰ τὸ ὅλον, ὡς πρὸς τὰς ἀλελεσμένας κριθάς [81]).

Ὀδμή. ὄζω, καὶ ὁ μέλλων ὄσω, ὀδὴ, καὶ πλεονασμῷ τοῦ μ, ὀδμή.

Ὄρνις. ὄρω τὸ ὁρμῶ, ὄρις, καὶ πλεονασμῷ τοῦ ν, ὄρνις.

Ὀσχεός. πλεονασμῷ τοῦ σ, ὡς παρὰ τὸ Φαλεύω Φαλεός, ὀχεύω ὀχεὸς καὶ ὀσχεός. τὸ ἀπὸ ἦτρου χαλώμενον δέρμα, ὀχεὸς σὺν τοῖς περιεχομένοις, ἀπὸ τοῦ περιέχειν καὶ ἀνοχεῖν.

Ὄρχις. διὰ τὸ πρὸς τὰ ἀφροδίσια παρέχειν ὄρεξιν· ἢ παρὰ τὸ ὀρούειν· τὸ μόριον. οἷον ἔρχεις, εἰς οὓς ἔρχεται ἡ γονή.

Οὖρον. οἷον ὅρος τῆς συμπάσης τροφῆς.

Ὀρτάλιχος. παρὰ τὸ γλίχεσθαι τοῦ ὀρούειν καὶ πέτεσθαι.

Ὄνυξ. πλεονασμῷ τοῦ ο, νύσσω νύξω, ἀποβολῇ τοῦ ω, νὺξ, καὶ προθέσει [82]) τοῦ ο, ὄνυξ.

Ὀτρύνω. πλεονασμῷ τοῦ τ, ὄρω, ὀρύνω, καὶ ὀτρύνω.

Ὀδεῖνα. ὅδε, ὅδει, ὡς ἐνθάδε ἐνθαδί, καὶ ἐπεκτάσει ὀδεῖνα.

Ὀργυιά. ἔκτασις τῶν δύο χειρῶν σὺν τῷ πλάτει τοῦ στήθους, παρὰ τὸ ὀρέγειν καὶ ἐκτείνειν τὰ γυῖα, ὅ ἐστι τὰς χεῖρας. γυῖα γὰρ ἐπὶ τῶν χειρῶν καὶ ποδῶν κυρίως. ὡς καὶ Ὅμηρος [83])· γυῖα δ' ἔθηκεν ἐλαφρὰ, χεῖρας, καὶ πόδας ὕπερθεν.

Ὀσφύς. ὡς Ἀριστοτέλης, ἡ ἴση πρὸς τὸ ἄνω καὶ κάτω πεφυκυῖα, οἷον ἰσοφυς [84]). ὡς δὲ Ἀπολλόδωρος, ὀστοφυὴς, ὅτι ὀστώδης.

Ὀμφαλός. οἱ μὲν παρὰ τὸ Φαλλὴν, ὡς ἐοικέναι [85]), ὅ ἐστι τὸ μόριον. ἐκκρεμὴς γάρ ἐστι ἐν ἀρχῇ, πρὸ τῆς ἀποτομῆς. οἱ δὲ ἀπὸ τοῦ περὶ αὐτὸν εἰλεῖσθαι τὸ γεννώμενον. οἱ δὲ ἀπὸ τῆς εἰς τὸ ἔμβρυον ἐμφυσήσεως [86]).

Ὀστλιγγες. αἱ τρίχες. Καλλίμαχος ἐν α' Αἰτιῶν· αἰὲν ἄλειφα ῥέει [87]). παρὰ τὸ ὀστοῦν εἰλεῖσθαι. ἢ ὅτι μετὰ τὴν γέννησιν τοῦ ἀνθρώπου πρῶται ἀναφύονται τρίχες περὶ τὰ ὀστώδη μέρη τῆς κεφαλῆς, εἰλουμένους καὶ συνηθροισμένους [88]).

Ὀφθαλμοί. παρὰ τὸ ὀφθῆναι παρέχειν ἅπαντα· κατὰ δέ τινας, ὀφθαλλοί τινες εἰσὶν, ἐξ ὧν ἅλλεται ἡ ὄψις, ἢ ὀπῶν ὀφθαλμοί [89]).

---

75) *Οἰήϊον. τὸ πηδάλιον κ. τ. λ.*] Plenius tradit auctor Etymologici M. p. 559, 42. quem vide. Larcher.

76) *ὄμπνη ὁ Δημητριακὸς καρπός*] Hinc *Ὀμπνία* est epitheton Cereris, et *ὄμπνιος* apud *Lycophronem* vers. 1264. est *dives*. Hac data occasione mendam eluam ex Etymologico M. p. 567, 46. *ὀμπνίαν ὀνομάζουσι Κυριανοί*. Qui sint isti Cyriani, nescire me fateor. Lege *Κυρηναῖοι*. *Scholiastes Apollonii Rhodii* ad IV. 989. *Κυρηναίων δέ τινες τὸν πλούσιον καὶ εὐδαίμονα ὄμπνιον καλοῦσιν*. Larcher. Ab initio glossae legendum videtur: *κυρίως ἐπὶ τοῦ ἡμετέρου σώματος. εἴρηται ἀπὸ τοῦ ὀμπνεῖν κ. τ. λ.*

77) *παρὰ τὸ αἴρειν ἡμᾶς λεχήρεις ὄντας*] Vide Etymolog. M. p. 572, 12. et *Orionem* ipsum infra in voce *Ὄρθρος*. Larcher.

78) *βέλειν*] Legendum est *βέλει* cum Etymologico M. p. 555, 5. et *Phavorino* in voc. *Ὀβελός*. Larcher.

79) *παρὰ τὸ ὄλλω καὶ ὀλλύω*] Sic etiam Etymolog. M. p. 580, 37. Sed meliora te docebit *Joh. Matthias Gesnerus* ad *Orphei* Argonaut. 955. Larcher.

80) *παρορμητική τις οὖσα κ. τ. λ.*] Deest aliquid ad integritatem sententiae. Corrigo cum Etymologico M. p. 582, 8. *παρορμητική τις οὖσα· ὁρᾷ οὖν· καὶ κ. τ. λ.* Larcher.

81) *ὡς πρὸς τὰς ἀλελεσμένας κριθάς*] *instituta comparatione cum molito hordeo, ad differentiam moliti hordei.* Larcher.

82) *προθέσει*] Lege *προσθέσει*. Larcher.

83) *Ὅμηρος*] Locus est Iliad. *E.* 122. sed ita legendus:
γυῖα δ' ἔθηκεν ἐλαφρὰ, πόδας, καὶ χεῖρας ὕπερθεν.
Larcher.

84) *ἴση πρὸς τὸ ἄνω καὶ κάτω πεφυκυῖα, οἷον ἰσοφυς*] Etymolog. M. p. 576, 20. habet: *ἴση πρὸς [τὰ] ἄνω ἐμπεφυκυῖα, ἰσόσφυς τις οὖσα*. *Suidas*: *ἴση πρὸς τὰ ἄνω ἐκπεφυκυῖα κ. τ. λ.* Larcher.

85) *φαλλὴν, ὡς ἐοικέναι*] Monstrum lectionis. Cum Etymologico M. p. 567, 49. omnino legendum est *φαλλῷ ἐοικέναι*. Larcher.

86) *ἐμφυσήσεως*] Lege cum Etymologico MS. Biblioth. Reg. *ἐμφύσεως*. Larcher. Equidem hanc correctionem non probo, propter ea quae *Orion* supra in v. *Ὀμφαλός* dixit.

87) *Καλλίμαχος ἐν α' Αἰτιῶν· αἰὲν ἄλειφα ῥέει*] Etymolog. M. p. 576, 14. *παρὰ Καλλιμάχῳ ἐν τῷ πρώτῳ, Αἰπῶν ἀπ' ὀστλίγγων αἰὲν ἄλειφα ῥέει.* Optime *Sylburgius*: *ἐν τῷ πρώτῳ Αἰτίων*. Et sic reperitur apud *Phavorinum* in voc. *Ὀστλιγγες*. Etiam apud *Orionem* scribendum est *Αἰτίων*. Vide *Bentleium* et *Ernesti* ad *Callimachi* Fragm. XII. Larcher.

88) *εἰλουμένους καὶ συνηθροισμένους*] Vel legendum est *εἰλούμεναι καὶ συνηθροισμέναι*, vt referantur ista participia ad nomen *τρίχες*, vel scribendum *ἢ παρὰ τὸ μετὰ τὴν γέννησιν τοῦ ἀνθρώπου πρώτας ἀναφύεσθαι τρίχας, περὶ τὰ ὀστώδη μέρη τῆς κεφαλῆς, εἰλουμένας καὶ συνηθροισμένας.* Larcher.

89) *ἢ ὀπῶν ὀφθαλμοί*] Lege cum Etymolog. M. p. 584, 19. *ἢ ὀπῶν θάλαμοι ὄντες*, vel cum Etymologico MS. Biblioth. Reg. *ἢ ὀπῶν θάλαμοί τινες ὄντες*. Larcher.

Digitized by Google

Ὄρασις. ἀπὸ τοῦ ὅριτις εἶναι καὶ τὰ πέρατα [*]) τῶν σωμάτων καταλαμβάνειν. οὕτω Σωρανός.

Ὄμματα. οἷον νέματα καὶ οἴματα· ἐπεὶ δι' αὐτῶν ἀφικᾶται [90]) καὶ ὁρμᾶται τὸ ὁρατικόν. Αἰολεῖς δὲ ὄππατα παρὰ τοὺς ὦπας [91]).

Ὀφρύες. ἤτοι ὠποφρύες εἰσίν. ἢ ὠπορύες· παρὰ τὸ φρουρεῖν καὶ ῥύεσθαι τὰς ὦπας ἀπό τε τῶν ὄμβρων καὶ τῶν ὕπερθεν ἱδρώτων· ἢ ὠπότρυες [92]). αἱ ἐπὶ τῶν ὠπῶν πεφυκυῖαι. ἢ οἷον ἐνποροφύες [93]) εἰσὶν, οἷον ὄροφοι τῶν ὠπῶν· οὕτω Σωρανός.

Ὀδόντες. παρὰ τὸ ἔδειν καὶ ἐσθίειν, ἐδόντες καὶ ὀδόντες.

Οὖλον. ἡ συνέχουσα τὰς ὀδόντας σὰρξ ὠνόμασται διὰ τὸ τρυφερόν. οὖλον γὰρ τὸ ἁπαλόν· ἢ παρὰ τὸ εἰλεῖν [94])· τρόπῳ γάρ τινι τείχους ἔχει τάξιν εἰς διακράτησιν τῶν ὀδόντων· ἢ ὅτι οὐλὴν ἔχει τὴν ἐπιγινομένην ἐκ τῶν φυομένων ὀδόντων διακοπήν. οὕτω Σωρανός.

Οὐρανίσκος. ὅτι μετεωρότατος ἐστὶ τῆς εὐρυχωρίας οὗτος ὁ τόπος, ὡς ἐν τοῖς ὅλοις τοῦ κόσμου ὁ οὐρανός. οὐρανίσκος δὲ ὑποκοριστικῶς, οἷον μικρὸς οὐρανός.

Ὁμαρτῶ. ἄρσω [95]) γίνεται ὄνομα ἀρτὸς, καὶ ἀρτῶ· ῥῆμα σύνθετον ὁμαρτῶ· ὁμαρτήσαντες, ὁμοῦ ἁρμοσάμενοι.

Ὄρθρος. ὄρω, μέλλων Αἰολικὸς ὄρσω, ὄνομα ὄρτος, καὶ μεταθέσει [96]) τοῦ τ̄ εἰς θ̄, ὄρθρος.

Οἶμα. οἰμῶ οἰμήσω, οἴμημα, καὶ συγκοπῇ οἶμα.

Ὀροθύνω. παρὰ τὸ ῥοθῶ ῥοθίνεω [97]), καὶ πλεονασμῷ τοῦ ō, ὀροθύνω. ἢ παρὰ τὸ ὄρω καὶ θύνω. ἐν τῷ περὶ Παθῶν Ἡρωδιανός.

Ὀθνεῖον. ὑπέρθεσις στοιχείου, ὡς ἄριστος ἀριστεῖον, νόθος νοθεῖον. μεταθέσει τοῦ ν̄, ὀθνεῖον.

Ὄμβρος. παρὰ τὸ ὁμοῦ ῥεῖν, ὅμορος [98]), συγκοπὴ καὶ πλεονασμὸς, ὄμβρος.

Οἶκος. παρὰ τὸ ὑποχωρῶ [99]) οἶκος· ὑφ' ὃν χωροῦμεν. Ἡρωδιανὸς ἐν τῇ Ὀρθογραφίᾳ.

Ὄβριμος. βρι ἐπιτατικόν ἐστι μόριον, καὶ πλεονασμῷ τοῦ ō, ὄβριμος.

Ὀμφαξ. οἷον ὠμόφαξ, ἡ ὠμὴ εἰς φαγήν [100]).

Ὀπτήτιον. παρὰ τὸ ὦπας ἐμποιεῖν.

Ὄνος. παρὰ τὴν ὄνησιν τὴν ἐν τοῖς ἔργοις. ὁ δὲ παρὰ τοῖς τέκτοσι [1]), παρὰ τὸ βαστάζειν.

Ὅμιλος. παρὰ τὸ ὁμοῦ εἰλεῖσθαι· ἢ παρὰ τὸ ὁμοῦ τὰς ἴλας ἔχειν.

Ὄξος. ἐπεὶ τέμνει καὶ κεντίζει ὡς εἰπεῖν τὴν γεῦσιν. καὶ ὀξεῖαν σταφυλὴν λέγομεν τὴν κεντρίζουσαν ἡμῶν τὴν γεῦσιν. Κυρηναῖοι δὲ τὸ ὄξος ἦδος λέγουσι [2]) κατ' ἀντίφρασιν. δύναται δὲ τὸ ὀξὺ, τὸν μεταβεβληκότα οἶνον εἰρῆσθαι [3])· ὀξὺς ὄξος, ὡς ταχὺς τάχος, εὐρὺς εὖρος [4]). οὕτω Φιλόξενος.

Ὀβολός. τροπῇ τοῦ ē εἰς ō. πρὸ τούτου γὰρ ὀβελίσκοις τραχέσιν ἐνομίστευον [5]) τὰ πρὸς σταθμόν. οἱ μὲν οὖν Ἴωνες ὀβελὸς, ἡμεῖς δὲ ὀβολός. πρῶτος δὲ πάντων Φείδων Ἀργεῖος νόμισμα ἔκοψεν ἐν Αἰγίνῃ, καὶ διδοὺς τὸ νόμισμα, καὶ ἀναλαβὼν [6]) τοὺς ὀβελίσκους, ἀνέθηκε τῇ ἐν Ἄργει Ἥρᾳ. ἐπειδὴ τότε οἱ ὀβελίσκοι τὴν χεῖρα ἐπλήρουν, τουτέστι, τὴν δράκα, ἡμεῖς, καίπερ μὴ πληροῦντες τὴν χεῖρα τοῖς ἓξ ὀβολοῖς, δραχμὴν αὐτὴν λέγομεν, παρὰ τὸ δράξασθαι. Ὅθεν ἔτι καὶ νῦν ὀβολοστάτην καλοῦμεν τὸν τοκιστήν. ἐπειδὴ σταθμοῖς τοὺς ὀβελίσκους παρεδίδουν οἱ ἀρχαῖοι. οὕτως Ἡρακλείδης ὁ Ποντικός.

Οὐρανός. ἀπὸ τοῦ οὐρεῖν καὶ φυλάττειν πάντα. καὶ κηπωρὸς, καὶ θυρωρὸς, παρὰ τὸ οὐρεῖν. Ἡσίοδος [7])· Γαῖα μέν τοι πρῶτον ἐγείνατο ἶσον αὐτῇ Οὐρανὸν ἀστερόενθ', ἵνα μιν περὶ πάντα καλύπτῃ. καὶ οὖρος ὁ φύλαξ ἐν τοῖς ἀγροῖς. ὅροι λέγονται οἱ φυλάττοντες τὸ

---

*) *καὶ τὰ πέρατα*] Nimirum *τὰ πέρατα* sunt *οἱ ὅροι*. Sed fortassis ex Etymologico M. p. 570, 26. legendum est: *καὶ διὰ τὸ τοὺς ὅρους, τουτέστι τὰ πέρατα.*

90) *νέματα — ἀφικᾶται*] Hoc monstrum lectionis ope Etymologici M. p. 566, 18. facile procurari potest. Lege: *ἔμματα καὶ οἴματα· ἐπεὶ δι' αὐτῶν ἀφίεται.* LARCHER.

91) *ὄππα τὰ παρὰ τοὺς ὦπας*] Legendum est *ὄππατα περὶ τοὺς ὦπας*, atque sic in Etymologico M. p. 566, 19. reponendum, vbi nunc legitur *ὄπτα τὰ περὶ τοὺς ὦπας*. LARCHER. Immo recte habet *παρὰ*, sed pro *τοὺς ὦπας* vera videtur scriptura Codicis Leidensis, (apud *Koen.* ad *Gregor.* de Dialectis p. 581. edit. *Schaefer.*) *τὰς ὀπάς.*

92) *ὠπότρυες*] Suspicor legendum esse *ὠπότριχες*, vt sit *τρίχες τῶν ὠπῶν*, vel potius cum Etymologico M. p. 584, 37. *ὠποφρύες*. LARCHER.

93) *ἐνποροφύες*] Cum Etymologico M. p. 584, 39. legendum est *ὠποροφύες*. LARCHER.

94) *ἢ παρὰ τὸ εἰλεῖν*] Melius in Etymologico M. p. 581, 16. legitur *ἢ παρὰ τὸ εἰλεῖσθαι περὶ τοὺς ὀδόντας*. Et forsan sic apud *Orionem* est scribendum. LARCHER.

95) *ἄρσω*] Legendum est *ἀπὸ τοῦ ἄρσω*, vel *παρὰ τὸ ἄρσω*. LARCHER.

96) *καὶ μεταθέσει*] Fortassis legendum est *πλεονασμῷ τοῦ ρ̄, καὶ μεταθέσει κ. τ. λ.* LARCHER.

97) *ῥοθίνεω*] Corrige *ῥοθύνω*. LARCHER.

98) *ὅμορος*] Videtur cum Etymologico M. p. 565, 31. legendum esse *ὁμόρροος, ὅμορος*. LARCHER.

99) *παρὰ τὸ ὑποχωρῶ*] Ex Etymolog. M. p. 560, 25. lege *παρὰ τὸ εἴκω τὸ ὑποχωρῶ*. LARCHER.

100) *εἰς φαγήν*] Quum nomen *φαγὴ* vix Graecum sit, ex Etymologico M. p. 567, 57. reponendum iudico *εἰς τὸ φαγεῖν.*

1) *ὁ δὲ παρὰ τοῖς τέκτοσι*] Subaudiendum est *ὄνος*. Etymologicum MS. Biblioth. Regiae: *ὁ δὲ ὄνος παρὰ τοῖς τέκτοσι.* Confer Etymolog. M. p. 568, 33. LARCHER.

2) *Κυρηναῖοι δὲ τὸ ὄξος ἦδος λέγουσι*] Non solum Cyrenaei nomen *ἦδος* hac potestate vsurpabant, sed etiam Athenienses. *Iul. Pollux* Onomast. VI. 65. *τὸ δὲ ὄξος καὶ ἦδος ἐκάλουν.* Vide *Hesychium* in voc. *ἦδος*, ibique interpretes T. I. p. 1605. not. 1. LARCHER.

3) *δύναται δὲ τὸ ὀξὺ, τὸν μεταβεβληκότα οἶνον εἰρῆσθαι*] Legendum videtur: *δύναται δὲ παρὰ τὸ ὀξὺ* (siue *ὀξὺς*) *ὄξος ὁ εἰς ὀξὺ μεταβεβληκὼς οἶνος εἰρῆσθαι.* Conf. Etymolog. M. p. 568, 50. et *Phauorin.* in voc. *Ὄξος.*

4) *εὐρὺς εὖρος*] Scribo *εὐρὺς εὖρος.*

5) *ἐνομίστευον*] *numis vtebantur.* Hac significatione verbum *νομιστεύειν* caret in vulgatis Lexicis. LARCHER. Caue tamen, ne eam Lexicis inseras. Nam verba sequentia, *τὰ πρὸς σταθμόν*, *quae ad libram pertinerent, ponderandi rationem*, quae ab Etymologici M. auctore p. 555, 12. male omissa sunt, *Larcherus* non curauit. Immo *νομιστεύειν* opinor esse *pro more administrare, regere, praeesse, agere, tractare.* Itaque *ἐνομίστευον τὰ πρὸς σταθμὸν* verto: *vti solebant in ponderando.*

6) *διδοὺς τὸ νόμισμα, καὶ ἀναλαβὼν*] Pro his in Etymologico M. p. 555, 14. legitur *διὰ τὸ νόμισμα ἀναλαβὼν*, quae tamen formula videtur fere idem significare.

7) *Hesiodi* verba Theogon. vers. 126 sq. sunt:

γαῖα δέ τοι πρῶτον μὲν ἐγείνατο ἶσον ἑαυτῇ
οὐρανὸν ἀστερόενθ', ἵνα μιν περὶ πάντα καλύπτοι.

LARCHER.

ἴδιον ἀπὸ τοῦ ἀλλοτρίου. οὕτως Ἡρακλείδης ὁ Ποντικός.

Ὀπώρα. παρὰ τὸ ἕπεσθαι τῇ ὥρᾳ. Ἡρακλείδης οὕτω.

Οἰζύω. ὥσπερ παρὰ τὸ λίαν, λιάζω, οὕτω καὶ παρὰ τὸ οἶ ἐπίῤῥημα, οἴζω, καὶ παραγώγως οἰζύω. οὕτως Ἀπολλώνιος ἐν τῷ περὶ Ἐπιῤῥημάτων [8]).

Οὐσία. ἡ οὖσα ἀεί. παρὰ τὴν ὢν μετοχὴν, ὕπαρξιν δηλοῦσαν, ὡς καὶ γέρων γερούσιος, ἑκὼν ἑκούσιος, καὶ ὢν οὔσιος, καὶ ἐνούσιος ὁ ὑποστατικὸς, καὶ οὐσία θηλυκόν.

Οἰμώζειν. παρὰ τὸ οἴμοι ὁμοίως πεποίηται [9]). οὕτως Ἀπολλώνιος.

Ὄτλος. παρὰ τὸ τλῶ τὸ κακοπαθῶ καὶ πλεονασμῷ τοῦ ō. ἢ παρὰ τὸ ᾱ τὸ ἐπιτατικόν [10]). μεταβέβληται εἰς ō, ἄτλος καὶ ὄτλος.

Οἶδμα. οἰδῶ οἰδήσω οἴδημα, καὶ συγκοπῇ, οἶδμα.

Ὄνειαρ [11]). ὄνω, ὄναρ, καὶ πλεονασμῷ τῆς διφθόγγου, ὄνειαρ.

Ὀρεσκῷος [12]). παρὰ τὸ κῶ δηλοῦν τὸ κοιμῶμαι, οὗ μέλλων κώσω, ῥηματικὸν ὄνομα κώς. σύνθετον ὀρεσκώς, πλεονασμῷ τοῦ ω, ὀρεσκῷος. οὕτω Φιλόξενος.

Ὀλίγωρος. παρὰ τὴν ὥραν [13]) τὴν Φροντίδα. τὸ δὲ ὀλίγον καὶ ἐπὶ τοῦ μηδαμῶς [14]), ἢ ὀλίγον οἱ παῖδα, ἀντὶ τοῦ οὐδαμῶς.

Ὀπή· τόπος τετριμμένος [15]). ἀφ᾽ οὗ τις δύναται ὀπήσασθαι καὶ περιβλέψασθαι. οὕτως Ἀριστόνικος ἐν τοῖς Σημείοις τοῦ Ποιητοῦ [16]).

Ὀψέ. παρὰ τὸ τὴν ὥραν ἐπιτηδείαν εἶναι εἰς τὸ ἄψ ἰέναι [17]).

Ὄνειρος. τὸ ὂν εἴρων καὶ λέγων. ἐπὶ δὲ τῶν ἀληθῶν ὁ λόγος [18]).

Ὀκλάσας. κατὰ πλεονασμὸν τοῦ ō. ἐστὶ γὰρ κλάσαι. διὰ τὸ ὥσπερ κλάσιν ὑπομένειν τὰ γόνατα.

Ὀϊστός. κατὰ πλεονασμὸν τοῦ ō. ἵημι γάρ ἐστι τὸ ῥῆμα, οὗ ῥηματικὸν ἰστὸς. καὶ πλεονασμῷ τοῦ ὀϊστός [19]).

Ὀρόδαμνος, καὶ ὄρπηξ. ἐπὶ τοῦ κλάδου. ἀπὸ τῆς ὀρούσεως τῆς κατὰ τὴν αὔξησιν.

Ὀρεκτῇσι μελίῃσι παρ᾽ Ὁμήρῳ [20])· αἷς ὀρέγδην χρῶνται ἐκ χειρὸς νύσσοντες.

Ὄπα. τὴν Φωνήν. Φιλόξενος ἐν τῷ περὶ Μονοσυλλάβων, παρὰ τὸν ἕψω μέλλοντα, οὗ θέμα ἔπω ἔψα. καὶ τροπῇ τοῦ ε εἰς ο, ὄψ. ὡς ἀπὸ τοῦ ἕλξω ἕλξον ὄνομα, καὶ τροπῇ τοῦ ε εἰς ο, ὄλξον, καὶ ἐπεκτάσει, ὦλξ. ὦλκα βαθεῖαν Ὅμηρος [21]).

Ὀπωπή. ὄπτω, καὶ ἐξ αὐτοῦ ὄνομα ῥηματικὸν ὀπὴ, καὶ διπλασιασμὸς ὀπωπή. οὕτω Φιλόξενος ἐν τῷ περὶ Ῥωμαίων διαλέκτου.

Ὄτριχας. οἰετέας. οἷον ὁμότριχας καὶ τὸ οἰετέας [22]) ἐπλεόνασε τὸ ῑ ὁμοετέας.

Ὀλκός. παρὰ τὸ ἕλκω, ὀλκὴ καὶ ἔχω ὄχος [23]).

Ὀπαδός. τὸ πρωτότυπον τῆς λέξεως ἕπω, οὗ παθητικὸν ἕπομαι. ὥσπερ ἀπὸ τοῦ πέμπω πέμπομαι, ἕλκω ὀλκὸς, οὕτω καὶ ἕπω ὀπὸς ὀξύτονον. τούτου ῥῆμα παράγωγον ὀπάζω, ὡς γυμνὸς γυμνάζω, ἵππος ἱππάζω, μόνος μονάζω, οὕτω καὶ ὀπάζω ὀπαδός.

Ὄπις. ἡ ἐξόπισθεν ἑπομένη κτῆσις [24]). ἀπὸ δὲ τῶν εἰς ζω [25]) καὶ διὰ τοῦ σ κλινομένων μελλόντων, ῥηματικὰ ἐκπίπτει ὀνόματα διὰ τοῦ δ· οἷον Φράζω Φραδὴ, κομίζω κομιδή· οὕτως ἀπὸ τοῦ ὀπάσω μέλλοντος ὀπα-

---

8) *ἐν τῷ περὶ Ἐπιῤῥημάτων*] *Apollonii* verba ex *Bekkeri* Anecdot. Graec. Vol. II. p. 538, 4. exscribere non piguit: *οὐδέποτε ἀπ᾽ ἀντωνυμιῶν — ῥήματα παράγεται —· ἀπὸ μέντοι ἐπιῤῥημάτων, ὡς παρὰ τὸ αἰαῖ τὸ αἰάζω, καὶ λίαν λιάζω. τάχα δὲ καὶ παρὰ τὸ οἰοῖ τὸ οἴζω ἐστί, καὶ καθ᾽ ἑτέραν παραγωγὴν καὶ διαίρεσιν τῆς διφθόγγου τὸ ὀΐζω οἰζύω.* Etiam apud *Orionem* scribendum est *Οἰζύω*.

9) *ὁμοίως πεποίηται*] Delendum censeo aduerbium *ὁμοίως*, vel potius ita legendum: *Οἰμώζειν· παρὰ τὸ οἴμοι. οἰμωγὴ, ὁμοίως πεποίηται*. Larcher. Mihi *ὁμοίως* seruandum, et ad ea referendum videbatur, quae *Orion* paulo ante de verbo *Οἰζύω* ex *Apollonii περὶ Ἐπιῤῥημάτων* libello tradidit. Certe in laudato *Apollonii* loco, statim post verba not. 8. allata, p. 538, 11. sequuntur haec: *ἔστι δὲ καὶ παρὰ τὸ οἴμοι οἰμώζειν, ὅπερ ἴδιον ἐπιῤῥημάτων.* Quod igitur *Apollonius ἔστι δὲ καὶ* dixit, pro eo *Orion* posuit *ὁμοίως πεποίηται*.

10) *παρὰ τὸ ᾱ τὸ ἐπιτατικόν. μεταβέβληται*] In his punctum puto in comma mutandum, et vel *μεταβεβλημένον* pro *μεταβέβληται* scribendum, vel *ὃ μεταβέβληται* legendum.

11) *Ὄνειαρ κ. τ. λ.*] Melius Etymolog. M. p. 567, 3. Larcher.

12) *Ὀρεσκῷος κ. τ. λ.*] Meliora dabit Etymologicum M. p. 571, 12. Larcher.

13) *ὥραν*] Scribe *οὖραν*, non tantum hoc loco, sed etiam in Etymologico M. p. 563, 43.

14) *ἢ ὀλίγον οἱ παῖδα*] Versus *Homeri* Iliad. *E*. 800. est:

ἦ ὀλίγον οἱ παῖδα ἐοικότα γείνατο Τυδεύς.

vbi *Scholiastes ὀλίγον* ait dictum esse pro *οὐδὲ ὀλίγον, οὐδ᾽ ὅλως*. Larcher.

15) *τετριμμένος*] Legendum est *τετρημένος* cum Etymologico M. p. 569, 40. Larcher.

16) *Ἀριστόνικος ἐν τοῖς Σημείοις τοῦ Ποιητοῦ*] *Aristonicus*, Alexandrinus Grammaticus, scripsit de Notis in *Homero* et in Theogonia *Hesiodi*. (Intelliguntur notae criticae, quibus olim veterum libri distingui solebant.) Item de nominibus in Iliade et Odyssea, quae a communi constructione recedunt, libros VI. Vide *Suidam* in *Ἀριστόνικος*, ibique notam *Kusteri*, et *Eudociam* in Anecdotis Graecis Villoisonianis Tom. I. p. 64. Larcher.

7) *ἄψ ἰέναι*] Ex Etymologico M. p. 586, 5. adde *οἴκαδε*. Larcher.

18) *ἐπὶ δὲ τῶν ἀληθῶν ὁ λόγος*] Etymologicum MS. Biblioth. Reg. addit: *Ὅμηρος· καὶ γάρ τ᾽ ὄναρ ἐκ Διός ἐστιν*, quae verba leguntur Iliad. *A*. 63. Larcher.

19) *πλεονασμῷ τοῦ ὀϊστός*] Scribe *πλεονασμῷ τοῦ ο, ὀϊστός*. Larcher.

20) *παρ᾽ Ὁμήρῳ*] Iliad. *B*. 543. et 544. verba sunt:

αἰχμηταὶ, μεμαῶτες ὀρεκτῇσιν μελίῃσιν
θώρηκας ῥήξειν δηΐων ἀμφὶ στήθεσσιν.

Larcher.

21) *ὦλκα βαθεῖαν Ὅμηρος*] Vox *ὦλκα* bis reperitur apud *Homerum*: Iliad. *N*. 707. sine epitheto. Et Odyss. *Σ*. 374. cum adiuncto *διηνεκέα*. Larcher.

22) *καὶ τὸ οἰετέας ἐπλεόνασε τὸ ῑ ὁμοετέας*] Vltimum istud, *ὁμοετέας*, statim post *καὶ* ponendum putem, et post *ὁμοετέας* interpungendum. Fortassis etiam *ἐν τῷ οἰετέας* pro *τὸ οἰετέας* scribi debet. Stvrz. Locus *Homeri*, quem *Orion* in mente habuit, est Iliad. *B*. 765. Larcher.

23) *ὀλκὴ καὶ ἔχω ὄχος*] Legendum forsitan est *ὀλκός, ὡς παρὰ τὸ ἔχω ὄχος*. Larcher.

24) *κτῆσις*] Lege *τίσις*, *vltio*, *punitio*. Etymologicum MS. Biblioth. Regiae: *ἐκ τοῦ ὀπίζω τὸ ἀκολουθῶ καὶ τὸ κατόπιν διώκω· τὸ δὲ ὀπίζω, ἐκ τοῦ ὄπις, ὃ σημαίνει τὴν ἐπιστροφήν. Θεῶν ὄπιν οὐκ ἀλέγων.* (Sunt verba *Homeri* Iliad. *Π*. 388. nisi quod ibi legitur *ἀλέγοντες*.) Et infra: *ὄπις· ἡ ἐπιστροφή.* Hinc emendandum est Etymologicon M. p. 568, 18. in quo legitur *ὀπὴ, ἡ ἐξόπισθεν ἑπομένη τισίς*. Scribe *ὄπις, ἡ ἐξόπισθεν ἑπομένη τίσις*. Larcher.

25) *ἀπὸ δὲ τῶν εἰς ζω*] Haec et sequentia respiciunt vocem *ὀπαδός* siue *ὀπηδός*. Larcher.

Digitized by Google

δός. γίνεται δὲ. τοῦ α βραχέος μεταληφθέντος [26]) εἰς η, ὀπηδός. Ὅμηρος [27])· γέρων δὲ τοιοῦτος ὀπήδει. Φιλόξενος.

Ὀχθήσας. τροπῇ τοῦ ᾱ εἰς ō. παρὰ τὸ ἄχθω καὶ ἄχθομαι βαρύτονον, καὶ ἀχθῶ περισπώμενον· ἀφ' οὗ τὸ ἤχθημα *) καὶ ἀπήχθημαι, καὶ ἠχθέσθην. ὀχθήσας οὖν ἀντὶ τοῦ ἀχθεσθείς. οὕτω Φιλόξενος ἐν τῷ περὶ Ἰάδος διαλέκτου.

Ὀτρηρός. Φιλόξενος ἀπὸ τοῦ τρεῖν τὸ φοβοῦμαι, οὗ ὄνομα ῥηματικὸν τρεερός· ὡς φαίνω φανερὸς, καὶ τήκω τακερός. τῶν δὲ δύο εε συνελθόντων εἰς η, τρηρὸς ἐγένετο, ὁ δειλὸς, οὗ παρώνυμον τρήρων. τῆς δὲ ᾱ στερήσεως συνελθούσης, καὶ αὐτῆς εἰς ō μεταβληθείσης, ἐγένετο ὀτρηρὸς, ὁ δραστικὸς, καὶ ἐῤῥωμένος, καὶ σπουδαῖος.

Ὄβριμος. παρὰ τὸ βρι, δηλοῦν ἐπίτασιν, καὶ πλεονασμῷ τοῦ ō, ὄβριμος.

Ὄρχαμος. τροπῇ τοῦ ᾱ εἰς ō, ἀρχὸς ἄρχαμος, ὡς πλόκος πλόκαμος, πύῤῥος πύῤῥαμος [28]).

Ὀῤῥωδῶ, τὸ φοβοῦμαι. ῥῶ ἐστὶ ῥῆμα, ἀφ' οὗ τὸ ἔῤῥωμαι, παράγωγον ῥώζω, καὶ μεταθέσει τοῦ ζ εἰς δ, ῥωδῶ, ὡς μύζω μυδῶ, χάζω χαδῶ· ἔνθεν τὸ κεχανδότα [29]), πλεονασμῷ τοῦ ν. ῥώζω οὖν ῥώδω, καὶ μετὰ τῆς ᾱ στερήσεως, ἀῤῥωδῶ, καὶ μεταθέσει τοῦ ᾱ εἰς ō, ὀῤῥωδῶ, τὸ μὴ ἐῤῥῶσθαι τὴν ψυχὴν ἀπὸ τοῦ φόβου. καὶ Ἡρόδοτος ἀῤῥωδῶ λέγει ἐν τῇ πρώτῃ [30])· ἀπεμάχετο ἀῤῥωδέων [31]). οὕτω Φιλόξενος ἐν τῷ περὶ Ἰάδος διαλέκτου. τινὲς δὲ παρὰ τὸ ἰδίειν [32]) τὸν ὀῤῥόν· ὅ ἐστιν ἱδροῦν ἐν τῷ φόβῳ.

Ὁμαρτεῖν. συγκοπῇ ἐκ τοῦ ἅμα ἐπιῤῥήματος, καὶ τοῦ ἄργω [33]) βαρυτόνου ῥήματος.

Ὁμηρεῦσαι [34]). παρὰ τὸ ἀρῶ τὸ ἁρμόζω, ταῖς φωναῖς ἀλλήλαις εἱρμοσμέναι τε [35]) καὶ ἀρηρυῖαι.

Ὅμηροι. οἱ ἐπὶ ὁμονοίᾳ διδόμενοι. παρὰ τὸ ἀρῶ τὸ ἁρμόζω καὶ τὸ ὁμοῦ.

Ὀκριόεις. ὁ τραχὺς λίθος. τροπῇ τοῦ ᾱ εἰς ō, ἀκριόεις τις ὤν. ἄκριας δὲ τὰς πέτρας ὁ Ποιητὴς καλεῖ [36])· δι' ἄκριας ἠνεμοέσσας. καὶ ἐστὶν ἀκρὸς ἀκρόεις, καὶ πλεονασμῷ τοῦ ῑ, ἀκριόεις. ὡς βροτὸς βροτόεις.

72) *τὰ πετώμενα*] Quum antea legatur *Πέτεσθαι*, reponendum est *τὰ πετόμενα*, quod etiam Etymologicon M. habet p. 604, 46.

73) *Πώμαλα*] Cum Etymologico M. p. 633, 40. legendum est *Πώ, καὶ πώμαλα.* Larcher. *Bastius* ad *Gregor.* de Dialectis p. 877. edit. *Schaefer.* totam *Orionis* glossam afferens, nonnulla aliter in Codice reperisse videtur. Nam habet *τὰ τῷ ω*, pro quo ο scribendum sit, legi iubet *τῆς θεν*, in Codice recte pro *πώ* scriptum esse ait *πῶ*, et pro *κατὰ τοιαύτην* legendum esse dicit *κατὰ τὴν τοιαύτην*.

74) *πώ τις ὄνον ὀνασεῖται*] Auctor Etymologici M. p. 633, 43. non dicit, hoc fragmentum esse ex Mimis *Sophronis*. Pro *ὀνασεῖται* scribitur ibi *ὠνάσηται*, sed legendum est *ὠνασεῖται*. Nam verti debet: *vnde aliquis mercabitur?* Vide Fragmentum Grammaticae *Apollonii Dyscoli* apud *Koenium* ad *Gregorium* de Dialectis p. 161. [p. 553. edit. *Schaefer.*] Larcher. Vid. ibidem *Bast.* qui rectius dicit, *Apollonii* locum sumtum esse ex libro *περὶ ἐπιῤῥημάτων*. quem nunc integrum editum habemus in *Bekkeri* Anecdot. Graec. Vol. II. vbi verba *Apollonii*, quae *Koenius* attulit, leguntur p. 622, 31. — p. 623, 3. et p. 604, 3 — 15.

75) *ἦ μάλα δὴ τέθνηκεν*] Sunt verba *Homeri* Iliad. *Σ.* 12. Larcher.

76) *ἦ μάλ' ἐλαφρὸς ἀνήρ*] Iliad. *Π.* 745. Larcher.

77) *ἀπεπτερώθη*] Forsitan legendum est *ἀνεπτερώθη*. Nam *ἀποπτερόω* non est verbum Graecum. Larcher.

78) *ὑπασπίδια προποδίζων*] Apud *Homerum* Iliad. *N.* 158. in Florentina editione et Aldina legitur *ὑπ' ἀσπίδα προποδίζων*. Larcher.

79) *σάω σῶς*] Lege *σαώσω σῶς*.

80) *ἀπὸ τοῦ πλησιάζω*] Melius Etymolog. M. p. 613, 43. *ἀπὸ τοῦ πλῶ, τοῦτο δὲ ἀπὸ τοῦ πέλω τὸ πλησιάζω, κατὰ συγκοπήν.* Larcher.

81) *πείσω — μέλλων παθητικὸς πείσομαι*] Scribe *πήθω — μέλλων παθητικὸς πήσομαι.* Conf. Etymolog. M. p. 606, 43.

82) *πίσεα ποιήεντα*] Sunt verba *Homeri* Il. *Υ.* 9. vbi in edit. Florent. et Ald. est *πείσεα ποιήεντα*. Larcher.

83) *Πασσυδία*] Legendum est *Πασσυδίῃ*. Larcher.

84) *πάσσεσθαι* debetur oscitantiae librarii. Corrige *τάσσεσθαι*. Vid. Etymolog. M. p. 590, 56. Larcher.

85) *Προμνηστῖνοι* vox *Homerica* est, Odyss. *Φ.* 230. et *προμνηστίνας*, ibid. *Λ.* 232. Larcher.

86) *μένω μένιστος*] Ita *Bastius* quoque ad *Gregor.* de Dialectis p. 301. edit. *Schaefer.* in Codice MS. reperit, et legendum suspicatur *μνῶ μνηστὸς*, sed addit etiam, tanquam in Codice repertum, *μνηστῖνος*.

87) *δύναται*] Subaudiri potest *εἶναι*, vt multis aliis locis. Vid. *Bast.* l. l.

88) *μενηστῖνος*] *Bastius* l. l. addi iubet *μνηστῖνος*.

Digitized by Google

ΑΡΧΗ ΤΟΥ Ρ.

Ῥῆγος [89]). τὸ βαπτὸν στρῶμα. ῥέξαι γὰρ τὸ βάψαι· οἱ δὲ τὸν τάπητα κατὰ τῶν μαλλῶν διακρίσεις [90]), οἱονεὶ διεῤῥώγασι, καὶ ῥηγεῖς ἔλεγον τοὺς βαφεῖς οἱ παλαιοί. Ἐπίχαρμος Ὀδυσσεῖ [91]), ἀλλὰ καὶ ῥέζει τι χρῶμα, ἀντὶ τοῦ βάπτει. ῥέγος οὖν ἐστὶ καὶ ῥῆγος, ὡς παρὰ τὸ ῥάζω ῥεξήνωρ καὶ ῥηξήνωρ.

Ῥίμφα. παρὰ τὸ ῥίπτειν ἑαυτὸν διὰ τάχους· ὡς παρὰ τὸ κρύπτω κρύφα, ῥίπτω ῥίφα [92]), καὶ ῥίμφα, πλεονασμῷ τοῦ μ.

Ῥαιστήρ. ἡ σφῦρα. φθείρω, φθαίρω κατὰ Δωριέας, καὶ ἀποβολῇ τοῦ φ θαίρω, ὑπερθέσει ῥαίθω ῥαίσω ῥαιστήρ.

Ῥοχθεῖ. πλεονασμῷ τοῦ χ. παρὰ τὸ ῥόθιον, τὸ κῦμα, ῥοθῶ, ῥόθει.

Ῥώψ. βοτάνη ἁπαλή. παρὰ τὸ ῥέπω, ῥέψω, ῥὲψ, καὶ ῥὸψ, καὶ τροπῇ τοῦ ο εἰς ω, ῥώψ.

Ῥόδος. ἡ νῆσος. παρὰ τὸ πολὺν ῥοῦν αὐτόθι [93]), πρὶν φανῆναι τὴν νῆσον.

Ῥιρός [94]). τὸ δέρμα, ὅτι δι' αὐτῆς ῥέουσιν οἱ ἱδρῶτες.

Ῥίν. παρὰ τὸ ῥέειν δι' αὐτῆς τὰ ὑγρὰ τῆς κεφαλῆς. εἰ δὲ σημαίνει τὸ πρόβατον [95]), ῥὴν, παρὰ τὸ ἀρῶ τὸ εὔχομαι. τὸ πρὸς εὐχὴν παρὰ τῶν παλαιῶν θυόμενον.

Ῥάκος. παρὰ τὸ ῥήσω [96]), ῥήξω, ῥῆκος καὶ ῥάκος.

Ῥυτήρ. ἀποβολῇ τοῦ σ. παρὰ τὴν ῥάσιν [97]), ἐρύσω, ἐρυτὴρ καὶ ῥυτήρ.

Ῥῖγος. ἐὰν διὰ τοῦ φ, φρίγος, παρὰ τὸ φρίσσω, καὶ ῥῖγος. ἔνθεν διὰ τοῦ ι γράφεται [98])· εἰ δὲ ἀποβολῇ ἔκτασιν πεποίηκε τοῦ ι.

Ῥᾷον. παρὰ τὸ ῥέα. τὸ γὰρ εὐχερῶς γενόμενον ῥύσει ἔοικε.

Ῥίζα. δι' ἧς ῥέει τὸ ζῆν ἄνω τοῖς δένδροις. τινὲς δὲ φασὶ πλεονασμὸν εἶναι τοῦ ρ, ἴζα τις οὖσα. παρὰ τὸ προϊζάνειν [99]) τὴν γῆν. καὶ ἔγκειται ἡ ῥέα [100]) ἡ γῆ, ἔριζά τις οὖσα, κατ' ἀποβολὴν τοῦ ε.

Ῥαχμὸς ἐπὴν γαίης. Ὁμήρῳ [1]). παρὰ τὸ ῥήσσω, ῥηγμὸς, καὶ μεταθέσει τοῦ γ εἰς χ, καὶ τοῦ η εἰς ω, ῥωχμός.

Ῥῆσις. παρὰ τὸ ῥῶ τὸ λέγω, ῥῆσις.

Ῥωγάς. παρὰ τὸ ῥήσσω, τροπῆς γενομένης τοῦ η εἰς ω, ῥωγός. παρὰ δὲ τὸ ῥήσσω, καὶ ῥωγάδες [2]).

Ῥυμός. παρὰ τὸ ἐρύω, οὗ μέλλων [3]) ἐρύσω. ὄνομα ῥηματικὸν ἐρυγμός [4]). ἀποβολῇ τοῦ ε καὶ σ, ῥυμός.

Ῥυμβός [5]). ῥύω ἐστὶ ῥῆμα, ἀφ' οὗ ῥύσις καὶ ῥυτὸς καὶ ῥυσμός· καὶ ἀπὸ τοῦ αὐτοῦ ῥήματος ἐλλείψει τοῦ σ, καὶ πλεονασμῷ τοῦ β, ῥυμβὸς κατ' Αἰολέας. πεφύκασι γὰρ πλεονάζειν τὸ β. Σαπφὼ, ῥόδον βρόδον [6]).

Ῥύμη. ῥέω ἐστὶ ῥῆμα, καὶ τροπῇ τοῦ ε εἰς υ, ῥύω, ὁ μέλλων ῥύσω, ῥηματικὸν ὄνομα ῥύμη καὶ ῥυτόν.

Ῥιγεδανός. παρὰ τὸ ῥίγος [7]). ὡς μῆκος μηκεδανός.

Ῥόδον. τὸ ἄνθος. παρὰ τὸ ὄζω ὄδον ἐστὶ, καὶ πλεονασμῷ τοῦ ρ, ῥόδον. οὕτως Ἡρωδιανὸς ἐν Ἐπιμερισμοῖς.

Ῥυθμός. ῥύω ἐστὶ ῥῆμα, οὗ μέλλων ῥύσω, ῥηματικὸν ὄνομα ῥυσμὸς, τροπῇ τοῦ σ εἰς θ, ῥυθμός. ὡς μηνίσω, μηνισμὸς καὶ μηνιθμός· ὀρχήσω, ὀρχησμὸς καὶ ὀρχηθμός. οὕτως Ἡρωδιανὸς ἐν Ἐπιμερισμοῖς.

---

89) *Ῥῆγος*] Vid. *Salmas.* ad Scriptores Hist. August. Tom. II. p. 484. et 485. LARCHER.

90) *οἱ δὲ τὸν τάπητα κατὰ τῶν μαλλῶν διακρίσεις, οἱονεὶ διεῤῥώγασι*] Haec quid sint, non satis diuinare queo. Posset quis legendum coniicere: *διακρίσεις, οἱονεὶ διεῤῥωγας.* LARCHER. Haud dubie *διεῤῥωγυῖς* scribere *Larcherus* voluit. STURZ. Sed *Orion* potius in mente habuit locum *Homeri* Iliad. *Ι.* 656.

αἱ δ' ἐπισπευδόμεναι στόρεσαν λέχος, ὡς ἐκέλευσε,
κώεά τε, ῥῆγός τε.

Et *Ῥῆγος* in accusatiuo positum accipi voluit. Hinc sequitur accusatiuus *τὸν τάπητα.* Pro *ῥέξαι* lego *ῥῆξαι.* Distinctione autem opus est post *τάπητα.* Itaque totum locum sic interpretor: „*Ῥῆγος*, *tinctam stragulam: ῥῆξαι* enim est *tingere*: alii vero *tapetem*, propter lanarum discrimina, quasi scindantur (scilicet *οἱ μαλλοί.*)" *Coray*, vir ingenii acumine doctrinaque praecellentissimus, ista sic emendare conatur: *οἱ δὲ, τὸν τάπητα· καὶ γὰρ τῶν μαλλῶν αἱ διακρίσεις, οἱονεὶ διεῤῥώγασι.* LARCHER.

91) *Ἐπίχαρμος Ὀδυσσεῖ*] Duae sunt fabulae *Epicharmi*, Vlyssis nomine nuncupatae, *Ὀδυσσεὺς αὐτόμολος*, *Vlysses transfuga*, et *Ὀδυσσεὺς ναυαγός*, *Vlysses naufragus.* LARCHER.

92) *ῥίπτω ῥίφα*] Lege *οὕτω παρὰ τὸ ῥίπτω ῥίφα.* Vide Etymolog. M. p. 638, 19. LARCHER.

93) Post *τὸ πολὺν ῥοῦν αὐτόθι* adde *δονεῖσθαι*, cum Etymologico M. p. 639, 6. LARCHER.

94) *Ῥιρός — δι' αὐτῆς*] Lege omnino *Ῥινός — δι' αὐτοῦ.* Vide Etymologicon M. p. 638, 31. cuius auctor *Orum* laudat, *Orionem* volebat dicere. LARCHER.

95) *εἰ δὲ σημαίνει τὸ πρόβατον*] Nusquam *ῥὶν* accipitur pro *oue*, sed *ῥήν.* Error ortus est e vitiosa pronuntiatione recentiorum Graecorum. LARCHER.

96) *παρὰ τὸ ῥήσω*] Ita est etiam in Excerptis ex *Orione* p. 616, 13. STURZ. Legendum omnino est *παρὰ τὸ ῥήσσω.* Vide Etymolog. M p. 636, 22. Etymologicum MS. Biblioth. Regiae: *Ῥάκος, ἐκ τοῦ ῥῶ ῥήσσω ῥήξω· ῥάκος, τὸ διεῤῥωγὸς ἱμάτιον.* LARCHER.

97) *παρὰ τὴν ῥάσιν*] Conieceram legendum esse *παρὰ τὴν ἔρυσιν.* Sed *ἔρυσις* non est vox Graeca. Fortasse recte legatur *παρὰ τὸ ἐρύω.* Vide Etymolog. M. p. 641, 2. LARCHER.

98) *διὰ τοῦ ι γράφεται· εἰ δὲ ἀποβολῇ κ. τ. λ.*] Non dubito quin legendum sit: *διὰ τοῦ ι μακροῦ γράφεται· ἡ γὰρ ἀποβολὴ κ. τ. λ.* Vid. Etymolog. M. p. 638, 3.

99) *προϊζάνειν τὴν γῆν*] Ex Etymologico M. p. 638, 12. legendum est *προσιζάνειν ἐν τῇ γῇ.* Vel, vt Excerpta p. 616, 15. habent, *ἰζάνειν τῇ γῇ*, pro quo mallem *ἐν τῇ γῇ.* In iisdem Excerptis paulo ante deest *ἄνω.*

100) *ἡ ῥέα*] Lege *ἡ ἔρα.* LARCHER.

1) *Ὁμήρῳ*] Locus est Iliad. *Φ.* 420. LARCHER.

2) *Ῥωγὰς* est accusatiuus nominis *ῥὼξ ῥωγός.* *Homerus* Odyss. *Χ.* 143. *ἀνὰ ῥωγὰς μεγάροιο.* Hinc emendabis Etymologicon M. in *ῥωγὰς μεγάλη* p. 639, 43. vbi lege *ῥωγὰς μεγάροιο.* LARCHER. Sed vbique scribendum est *ῥῶγας.*

3) *οὗ μέλλων*] Vid. ad *Ηὔξ.* Conf. infra *Ῥυθμός.*

4) *ἐρυγμός*] Verbale ab *ἐρύω ἐρύσω* debet esse *ἐρυσμός.* Error tribuendus est oscitantiae librarii. LARCHER.

5) *Ῥυμβός*] *Koenius* ad *Gregorium* de Dialectis pag. 270. (p. 572. edit. *Schaefer.*) totam *Orionis* glossam afferens, scribit *Ῥύμβος.*

6) *ῥόδον βρόδον*] *Sappho* III. 4. *οὐ γὰρ πεδέχεις βρόδων τῶν ἐκ Πιερίας.* Vide *Orionem* supra in voc. *Βραβευταί.* LARCHER.

7) *παρὰ τὸ ῥίγος*] Corrigendum est *παρὰ τὸ ῥῖγος.* Vid. supra *Ῥῖγος.* LARCHER.

Digitized by Google

ΑΡΧΗ ΤΟΥ Σ.

Σκῆπτρον. παρὰ τὸ σκήπτεσθαι, καὶ ἐπερείδεσθαι αὐτῷ, καὶ πλεονάζει τὸ ρ̄.

Στεῖραν [8]). ἐπὶ πλοίου. παρὰ τὸ στεῤῥὰν εἶναι καὶ εὔτονον. ἀφ' οὗ τὴν μὴ τετοκυῖαν ἔλεγον, διὰ τὸ στερεωτέραν εἶναι τῆς τετοκυίας.

Σμῶδιξ. παρὰ τὸ σμῶξαι. οὕτω δὲ λέγουσιν Ἴωνες τὸ πατάξαι.

Σέλινον. κυρίως τὸ ἐξ ἕλους σευόμενον. Ὅμηρος [9]) ἐλεόθρεπτον σέλινον.

Σιγαλόεν. τὸ ποικίλον. οἷον στιγαλόεν τι ὄν [10]).

Σμερδνόν. ἀπὸ τοῦ μερίζειν τὴν ψυχὴν τῶν ὁρώντων τῷ φόβῳ καὶ μὴ ἐᾶν ἐν αὐτῷ εἶναι [11]).

Σκαιή. παρὰ τὸ σκάζειν περὶ τὰς πράξεις [12]) ἔνδον οὖσαν, ὅτι ἀσθενεστέρα τῆς δεξιᾶς. ὅθεν καὶ ὁ τῇ βάσει λειπόμενος σκάζειν λέγεται, καὶ ὁ σκαιὸς ἄνθρωπος σκαμβός τις ὤν, καὶ μὴ ὀρθός.

Στεῦται. παρὰ τὸ στῆθος, οἷον ἐν τοῖς στήθεσι διανοεῖται. ἐκεῖ γὰρ τὸ λογιστικὸν, καθ' Ὅμηρον [13])· στῆθος δὲ πλήξας, κραδίην ἠνίπαπε μύθῳ. Φιλόξενος δὲ οὕτω φησὶν, ὡς παρὰ τὸ ἀθλῶ ἀθλεύω, οὕτω καὶ τὸ στῶ στεύω στεύεται, ἐπὶ τοῦ ὡρισμένου τῇ ψυχῇ καὶ στάσιν λαμβάνοντος καὶ ὑποθεμένου τι περὶ οὗ διϊσχυρίζεται εἰπεῖν.

Σανίς. οἷον τανίς. παρὰ τὸ τετάσθαι τὸ ἐπίμηκες ξύλον.

Σαυρωτήρ. ὅπου ἐμπήγνυται τὸ σιδήριον τοῦ δόρατος. παρὰ τὸ σταυροῦσθαι καὶ ὀρθοῦσθαι ὑπ' αὐτοῦ τὸ δόρυ. σταυρωτήρ τις ὤν. οἱ δὲ αὐτὸ τὸ σιδήριον σταύρακα [14]) καλοῦσιν.

Σχεδόν. ἐγγὺς, παρὰ τὸ σχέσιν ἔχειν ἄλλον πρὸς ἄλλο [15]).

Πέος [16]). τὸ σπήλαιον, ἀφώτιστόν τι οἴκημα· παρὰ τὴν σβέσιν τοῦ φωτὸς ἐν τούτῳ· σβέος τι ὄν, καὶ σπέος. οἱ δὲ παρὰ τὸ σβέω σβολος [17]), καὶ σποδός. ὅθεν καὶ φησί [18])· δῦνε σπέος ἠεροειδές.

Σφεδανόν. τὸ σύντονον. τινὲς οὕτω· ἀφ' οὗ καὶ σφὴν, ὁ συντείνων καὶ σφίγγων· ἢ σπαδανόν ἐστιν, οἷον κατεσπαμένον [*]).

Σέλας. παρὰ τὸ σαλεύεσθαι τῇ πνοῇ [19]).

Σπεῖσαι. παρὰ τὸ πίσαι, ὅ ἐστι ποτίσαι τὴν γῆν ἐν τῷ οἴνῳ [20]).

Σῶκος. ἐπίθετον Ἑρμοῦ· ἤτοι ὁ ἰσχυρός. σωκεῖν ἀντὶ ἰσχύειν. ἢ σάοικος, ἢ ὁ ὠκέως σευόμενος, ἢ ὁρμῶν· ἄγγελος γάρ.

Στυφελίζειν. σκληρὸς [21]) διατιθέναι. κυρίως τὸ ἀπὸ πέτρας στυφελοῦ σφάλλεσθαι [22])· στυφελὸν γὰρ τὸ σκληρόν. ἢ στυφελίζειν, ἀπὸ τοῦ τοῖς στύπεσιν [23]) ἐλαύνειν, ὅ ἐστι στελέχεσι.

Σορός. ἀπὸ τοῦ ἔσωθεν ὠρεύειν καὶ φυλάττειν τὰ σώματα.

Σκυδμαίνειν. σκυθρωπεύειν καὶ ὀργίζεσθαι. κυρίως δὲ ἐπὶ τῶν λεαίνων [24]), τῶν ἐπὶ τοῖς ἀφαιρουμένοις σκύμνοις ὀργιζομένων, ὥστε παρὰ τοὺς σκύμνους εἶναι· καὶ μαινεαίνειν [25]) τὸ σκυδμαίνειν.

Σταμῖνας. τὰ ὀρθὰ ξύλα, οἷον στήμονος τάξιν ἐπέχοντα [26]).

Σπεῖρα [27]). παρὰ τὸ συνεσπειραμένην ἔχειν ἐν αὐτῷ τὴν τῆς δυνάμεως τελειότητα.

Σπινθήρ. παρὰ τὸ σπεῖραι πεποίηται. ὁ τὸν τοῦ πυρὸς ἔχων σπόρον. οἷον σπορεύς τις ὢν τοῦ θέροντος πυρός. παρὰ τὸ σπεῖραι οὖν, καὶ παρὰ τὸ θέρω, σπινθήρ.

Συνάορος. παρὰ τὸ συναρηρέναι· συνηαρός τις καὶ συνόμιλος, καὶ μεταθέσει τοῦ δ̄ [28]), συνάορος. ἡ γυνή.

Σφαῖρα. παρὰ τὸ σπαίρειν καὶ ἐν κινήσει εἶναι, κατὰ μετάθεσιν τοῦ π̄ εἰς φ̄. ἢ τοῦ κ̄ εἰς π̄. τὸ γὰρ σπαίρειν, σκαίρειν ἐστίν. οὕτω καὶ τὸ πῶς, κῶς εἴρηται κατὰ Ἴωνας, καὶ ὅπως ὅκως.

---

8) *Στεῖραν κ. τ. λ.*] In Codice MS. legitur continua serie. Sed est initium nouae Glossae. Larcher.

9) *Ὅμηρος*] Locus est Iliad. *Β.* 776. Eadem refert auctor Etymologici M. p. 643, 28. et laudat *Orum*. Lege vero *Orionem*. Larcher.

10) *στιγαλόεν τι ὄν*] Nempe deducitur a *στίζω*, quod est *notis distinguo*. Vid. Etymolog. M. p. 646, 11. Larcher.

11) *μὴ ἐᾶν ἐν αὐτῷ εἶναι*] Lege *μὴ ἐᾶν αὐτὴν ἐν τῷ αὐτῷ εἶναι*. Atque sic reperitur in Etymologico MS. Biblioth. Regiae. Hinc etiam corrigendum est Etymologicon M. p. 653, 6. vbi perperam legitur *μὴ ἐᾶν αὐτὴν ἐν τῷ μένειν*. Larcher.

12) *σκάζειν περὶ τὰς πράξεις ἔνδον οὖσαν*] Lege *σκάζειν, περὶ τὰς πράξεις ἐνδέουσαν*. Nam ex istis *ἔνδον οὖσαν* nullus sensus effici potest, et *ἐνδέουσαν* diserte legitur in Etymologico M. p. 649, 29. Larcher.

13) *καθ' Ὅμηρον*] Locus est Odyss. *Υ.* 17. Larcher.

14) *σταύρακα*] Lege *στύρακα*. Larcher.

15) *ἄλλον πρὸς ἄλλο*] Legendum est *ἄλλον πρὸς ἄλλον*, vt est in Etymologico M. p. 670, 47. Larcher.

16) *Πέος*] Lege *Σπέος*. Larcher.

17) *σβολος*] Fortassis *Orion* σβοδὸς scripserat.

18) *φησί*] Deest *Ὅμηρος*, nempe Odyss. *Ν.* 366. Larcher.

*) *κατεσπαμένον*] Saltem *κατεσπασμένον* legendum est.

19) *παρὰ τὸ σαλεύεσθαι τῇ πνοῇ*] Vid. Etymolog. M. p. 643, 22. Larcher.

20) *ἐν τῷ οἴνῳ*] Dele hoc importunum *ἐν*. In Etymologico M. p. 656, 54. haec etymologia *Oro* tribuitur, sed reddenda est *Orioni*. Larcher.

21) *σκληρὸς*] Legendum est *σκληρῶς*. Larcher.

22) Hinc corrigenda sunt, quae in Etymologico M. p. 664, 16. leguntur: *κυρίως δὲ ἀπὸ πέτρας στυφλοῦς ἄλλεσθαι*. Larcher.

23) *στύπεσιν*] Ita etiam *στύφεσιν* in Etymolog. M. p. 664, 18. corrigendum est. Larcher.

24) *λεαίνων*] Scribe *λεαινῶν*. In Etymologico M. p. 652, 55. est *λεόντων*.

25) *μαινεαίνειν*] Corrige *μεναίνειν* cum Etymologico M. p. 652, 56. Larcher. Simplicius corrigas *μενεαίνειν*.

26) *Σταμῖνας — ἐπέχοντα.*] Haec glossa mutila est. Integrior extat in Etymologico M. p. 657, 56. cuius auctor descripsit *Orionem*. Itaque ibi *Ὠρίων* lege pro *Ὧρος*. Larcher.

27) *Σπεῖρα κ. τ. λ.*] Legendum est: *Σπῖρα· παρὰ τὸ συνεσπειραμένην ἔχειν ἐν ἑαυτῷ κ. τ. λ.* Etymologicon M. p. 655, 14. habet: *Σπίρα, παρὰ τὸ συνεσπαρμένην ἔχειν ἐν ἑαυτῷ τὴν δύναμιν τῆς τελειότητος*. Vtra istarum explicationum praeferri debeat, dubius haereo. Larcher.

28) *μεταθέσει τοῦ δ̄*] Legendum est *μεταθέσει τοῦ ᾱ*. Vide Etymolog. M. p. 666, 56. Larcher. Sed ex eodem Etymologici M. loco pro *συνηαρός τις* reponi debet *συνάορός τις*.

Digitized by Google

Σφαραγῶντο [29]. ἦχον προΐεντο [30]. ὀνόματι πεποίηται [31] δὲ ἡ λέξις. ἔνθα καὶ ὁ βρόχος [32], ᾧ τὴν φωνὴν ἀφιέμεθα, ἀσφάραγος καλεῖται.

Σταθμός. παρὰ τὴν στάσιν τὴν ἐν αὐτῷ τῶν ζώων.

Συβαρός [33]. παρὰ τὸ σεσοβεῖσθαι. συῶ συαρὸς, καὶ, πλεονασμῷ τοῦ β, συβαρός [34].

Σίβδαι [35]. πλεονασμῷ τοῦ β. σίδαι δὲ αἱ ῥοιαί.

Στράγξ. πλεονασμῷ τοῦ ρ καὶ τοῦ γ, στάζω, στὰξ, καὶ στράγξ.

Στρυφνός. παρὰ τὸ στύφω, στυφνὸς, καὶ στρυφνὸς, πλεονασμῷ τοῦ ρ.

Σαργάνη. σάσσω ἐστὶ ῥῆμα, καὶ σωγάνη [36], καὶ πλεονασμῷ τοῦ ρ, σαργάνη.

Σπυρίς. πλεονασμῷ τοῦ σ. ἐστὶ γὰρ παρὰ τοὺς πυροὺς, πυρὶς καὶ σπυρίς.

Στυππίον [37]. πλεονασμῷ τοῦ σ. τύποις [38] γὰρ καὶ αὐτὸ, παρὰ τὸ τύπτω

Σειρά. παρὰ τὸ εἴρω, πλεονασμῷ τοῦ σ.

Συρφετός. ὡς παρὰ τὸ ὕω ὑετὸς, οὕτω καὶ σύρω συρετός, καὶ πλεονασμῷ τοῦ φ, συρφετός.

Σκορακισμὸς καὶ σκορακίζειν. ἀποβολῇ τοῦ σ [39]. ἐς κόρακας γὰρ, ὃ λέγεται εἰς κόρακας.

Σιωπή. ἀποβολῇ τοῦ γ. σιγωπὴ γάρ ἐστι. παρὰ τὴν ὄπα τὴν φωνήν.

Σμερδαλέον. παρὰ τὸ σμερδανὸν [40], παράγωγον σμερδναλέον, ἀποβολῇ τοῦ σμερδαλέον.

Σπλήν. οἷον σπὴν, ἀπὸ τοῦ ἐφ' ἑαυτὸν [*] ἐπισπᾶσθαι τὰ φαυλισθέντα τῶν ὑγρῶν.

Σπλάγχνον. διὰ τὸ πλησίον ἀλλήλων ὑπάρχειν, ἢ οἷον σπλάγχυον. παρὰ τὸ ἀγχοῦ, καὶ τὸ πλησίον ἀλλήλων.

Σφυρόν. παρὰ τὸ συνεσφίχθαι τὸ ἄρθρον τῇ συνθέσει καὶ τοῖς νεύροις.

Σίαλος. τὸ λεπτὸν, καὶ οἷον ὁ ὀρὸς τῶν ἄλλων ὑγρῶν, οἷον ἀποσειόμενον ἅλας καὶ ἀθροῦν. διαφέρει δὲ σίαλος καὶ πτύελος [41]. καὶ πτύελος μὲν ὁ ἀποπτυόμενος κατὰ προαίρεσιν κατὰ τὴν τῶν χειλῶν ἐπίπτυξιν. ὁ δὲ σίαλος αὐτομάτως ῥεῖ. διὸ καὶ σιαλίζει τὰ βρέφη καὶ ὑπεργηράσαντες, οὓς καὶ ἀναισθήτους λέγομεν. πιθανὸν δὲ κἀκ τοῦ παρακολουθοῦντος ἐν τῷ πτύειν ψόφου αὐτῆς τε τυχεῖν [42] τῆς ὀνομασίας. λέγεται δὲ σίαλος. καὶ ὁ εὐτραφεὶς [43] σῦς, παρὰ τὸ ἀφρὸν προΐεσθαι, ὃν λέγομεν σίαλον.

Σκύβαλον. τὸ δι' ἐντέρων ἐκδιδόμενον, οἷον κευθίβαλον [44].

Σύφαρ. οὐχ ἁπλῶς τὸ γῆρας, ἀλλ' ὡς ἐπιγέννημα τοῦ γήρους [45] καὶ τῆς ἐσχάτης ἡλικίας. Σώφρων [46], ξύσιλον τὸν γέροντα εἶπεν ἀπὸ τοῦ κνᾶσθαι καὶ ξύειν τὸ δέρμα. κἄπειτ' ἀποκρινόμενον, σύφαρ ἀντ' ἀνδρὸς [47], τουτέστι δέρμα ψιλὸν, ὡς τῶν ἀνδρῶν ἤδη δεδαπανημένων. τινὲς δὲ καὶ τὸ τοῦ ὄφεως γῆρας σύφαρ λέγουσι, καὶ ἐπὶ τοῦ ἀνθρώπου. σύφαρ ἐστὶν, οἷον τὸ ἀπέσυρμα καὶ ἐῤῥυσσωμένον δέρμα.

Σῶμα. ὡς Πλάτων [48] φησὶ, σῆμα ἐστὶ τῆς ψυχῆς. ὥσπερ γὰρ ἐντέθαπται αὐτῷ.

Σέρφος [49]. παρὰ τὴν στρυφνότητα καὶ πυκνότητα. ἢ παρὰ τὸ ἐρέφειν, καὶ σκέπειν τὸ σῶμα, ἔρεφος, καὶ στέρεφος, καὶ στέρφος. οἱ δὲ παρὰ τὸ στέφειν, ὅ ἐστι σκεπάζειν, πλεονασμῷ τοῦ ρ, στέφος καὶ στέρφος [50].

---

29) *Σφαραγῶντο*] Lege *Σφαραγεῦντο*. Sic Iones loquuntur. Vid. *Homer.* Odyss. *I*. 390. et 440. *Σφαραγῶντο* non est Graeca vox. LARCHER.

30) *ἦχον προΐεντο*] Optime *Orion*. Et sic scripsit auctor Etymologici M, ex editione Veneta anni 1499. quae prima est. In editione Sylburgiana p. 669. 58. legitur *ἤγουν προΐεντο*, quod est corrigendum. LARCHER.

31) *ὀνόματι πεποίηται*] Legendum est *ὀνοματοπεποίηται*. LARCHER. Malim *ὀνοματοπεποίηται*, quanquam prius illud etiam extat in Etymologico M. l. l.

32) *ἔνθα καὶ ὁ βρόχος*] Idem vitium reperitur in prima editione Etymologici M. In Sylburgiana paulo melius: *ἔνθα καὶ ὁ βρόχθος*. Sed legendum est: *ἔνθεν καὶ ὁ βρόχθος*. LARCHER.

33) *Συβαρός* non est Graeca vox, neque deduci potest a *σεσοβεῖσθαι*. Repone igitur *Σοβαρός*. LARCHER. Sed etiam *σεσοβῆσθαι* scribendum est, vel *σεσοβῆσθαι*, ἢ *σεσεῖσθαι*.

34) *συῶ συαρὸς, — συβαρός*] Corrige *σοῶ σοαρὸς, — σοβαρός*. Vide Etymolog. M. p. 654, 36. LARCHER.

35) *Σίβδαι* est vocabulum Aeolum proprium. (Vid. Etymolog. M. p. 57, 15.) Eo vsus est *Callimachus* Hymn. in Lauacr. Pallad. vers. 28. LARCHER.

36) *σωγάνη*] Procul dubio legendum est *σαγάνη*. Vid. Etymolog. M. p. 642, 23. LARCHER.

37) *Στυππίον*] Vel *Στύππιον* scribendum est, vel potius *Στυπεῖον*.

38) *τύποις γὰρ καὶ αὐτὸ, παρὰ τὸ τύπτω*] Cum Etymologico M. p. 663, 53. sic reponendum censeo: *τυπεῖον γάρ· καὶ αὐτὸ παρὰ τὸ τύπτω*. LARCHER.

39) Videtur aliquid deesse. Fortassis cum Etymologico M. p. 652, 7. legendum est: *Σκορακισμὸς καὶ σκορακίζειν· ἐς κόρακας, ἐσκορακίζειν· καὶ ἀποβολῇ τοῦ ε, σκορακίζειν*. LARCHER. Saltem *ἀποβολῇ τοῦ ε* legendum est.

40) *σμερδανὸν κ. τ. λ.*] Legendum est *σμερδνὸν*, *παράγωγον σμερδναλέον*, *ἀποβολῇ τοῦ ν*, *σμερδαλέον*. LARCHER.

*) *ἐφ' ἑαυτὸν*] In Excerptis ex *Orione* p. 616, 23. *εἰς αὐτὸν* legitur.

41) *πτύελος*] Scribendum potius *πτύελον*. Nam *πτύαλον*, quod in Etymologico M. p. 645, 1. legitur, non probandum puto.

42) *αὐτῆς τε τυχεῖν τῆς ὀνομασίας*] Lege *ταύτης τυχεῖν τῆς ὀνομασίας*. In Etymologico M. p. 645, 7. haec desunt. LARCHER.

43) *εὐτραφεὶς*] Vel *εὐτραφὴς* cum Etymologico M. p. 645, 8. vel *εὐτραφηθεὶς*, vel *εὖ τραφεὶς* legendum censeo.

44) *κευθίβαλον*] In Etymologico M. p. 652, 53. *Zonarae* Lexico p. 1655. et apud *Phauorinum* rectius scriptum videtur *κυσίβαλον*, hoc est, *τὸ τοῖς κυσὶ βαλλόμενον*. Quanquam enim *κευθίβαλον* explicari potest *quod in locum occultum abiicitur*, tamen ex *κυσίβαλον* magis patet etymologiae ratio. In Etymologico Gudiano p. 505, 7. reperitur vtrumque.

45) *τοῦ γήρους*] Fortasse legendum est *τοῦ γήρως*. LARCHER. Vix dubito quin vir doctissimus scribere voluerit *τοῦ γέρως*.

46) *Sophron*, poeta comicus, et mimographus, *Euripidi* aequalis, scripsit Dorica dialecto *Μίμους ἀνδρείους καὶ γυναικείους*, quorum lectione delectatus fuit Plato. Fragmentum e Mimis in viros sumtum afferam deinceps. LARCHER.

47) *σύφαρ' ἀντ' ἀνδρὸς*] En fragmentum *Sophronis*, vt extat in Etymologico M. p. 668. 3. *Τί μὰν ξύσιλος; τί γάρ; σύφαρ ἀντ' ἀνδρός*. LARCHER. Paulo post, pro *τῶν ἀνδρῶν*, reponendum ex Etymolog. M. p. 668, 8. putem *τῶν ἄλλων*.

48) *Πλάτων*] Locus est in Cratylo Tom. I. Operum p. 400, C. In Excerptis ex *Orione* p. 616, 24. glossa sic exhibetur: *Σῶμα. ὥς φησι Πλάτων, ὅτι σῆμα ψυχῆς ἐστι· τάφος*.

49) *Σέρφος* est *culex*. Sed sequentia non conueniunt culici. Legendum igitur est *Στέρφος*, *pellis*, qua voce vsus est *Apollonius Rhodius* IV. 1348. LARCHER.

50) *πλεονασμῷ τοῦ ρ, στέφος καὶ στέρφος*] Ordo turbatus est. Lege: *στέφος· καὶ πλεονασμῷ τοῦ ρ, στέρφος*.

Digitized by Google

Σκῆνος. παρὰ τὸ σκήνωμα καὶ σκηνὴν εἶναι τῆς ψυχῆς, οἷον οἰκητήριον.

Σήραγγες. οἱ κοῖλοι τόποι, παρὰ τὸ σεσηρέναι.

Σιαγόνες. ὅτι σείονται περιαγόμεναι, καὶ συνάγονται αἳ εἰσὶν ὑποκάτω τῆς γένυος. οἱ δὲ, παρὰ τὸ σιγᾷν· αἷς ἐστὶ σιγᾷν καὶ λέγειν ἀνοιγομέναις· ἢ δι' ὧν ἕλκεται καὶ ἄγεται τὰ ἐσθιόμενα. οὕτω Σωρανός.

Στόμα. τόμα τὶ ἐστὶ, τὸ τέμνον τὰ σιτία.

Στόμαχος. δι' οὗ καταπίνομεν [51]) τὴν ὑγρὰν καὶ ξηρὰν τροφήν. ἢ στόμα ἐπὶ τῶν χεομένων [52]). ἢ ὅτι τὰ ἀπὸ στόματος εἰς αὐτὸν χεῖται. ἢ στόμαχος, οἷον σιτόμαχος, ὁ τοῖς σιτίοις μαχόμενος τοῖς θλίβουσιν αὐτόν. ἢ ὁ θλίβων ἔμπαλιν αὐτὰ, ἵνα καταβιβασθῇ. ἢ στόμαχος, οἷον τῶν σιτίων μῆχος καὶ μηχανὴ, ὥσπερ ἀλήθων αὐτά.

Σπιθαμή. παρὰ τὸν ἀποσπασμὸν, τὸν ἀπὸ τοῦ μεγάλου δακτύλου [53]) πρὸς τὸ τοῦ μικροῦ ἄκρον. ἡ δραχμὴ ἔχει δ' δακτύλους· ἡ δὲ σπιθαμὴ, ιβ'.

Σπάθαι. αἱ τῶν πλευρῶν. ἀπὸ τοῦ ἐπισπᾶσθαι πρὸς ἐπικαμπίαν.

Στέρνον. παρὰ τὸ στερεόν.

Στῆθος. ὅτι ἔστηκεν [54]) ἀσάλευτον· ὡς δὲ ἄλλοι, ὅτι ἐν αὐτῷ τὸ ἡγεμονικὸν ἕστηκεν· ἢ ὅτι δι' αὐτοῦ τὰ σιτία διωθεῖται, οἷον σιτίωθος. Σωρανὸς οὕτω.

Σπλάγχνα. οἷον πέλαγχνα, διὰ τὸ πλησίον ἀλλήλων ὑπάρχειν, καὶ διὰ τὸ σπᾷν τὴν τροφήν.

Σκέλη. ἢ διὰ τὴν σχίσιν· διέσχισται γὰρ ἀπ' ἀλλήλων, ἢ παρὰ τὸ κέλευθον [55]), δι' ἧς βαδίζομεν, πλεονάσαντος τοῦ σ. ἢ παρὰ τοῦ σ [56]). ἢ παρὰ τὸ κατεσκληκέναι, καὶ σκληρότερον εἶναι τῶν ὕπερθεν. οὕτω Σωρανός.

Στυγνός. ὡς παρὰ τὸ ἔτραγον τραγανὸς, ἔπιθον πιθανός, οὕτω παρὰ τὸ ἔστυγον στυγανὸς, καὶ συγκοπῇ στυγνός. οἱ δὲ παρὰ τὴν Στύγα φασὶν εὑρῆσθαι [57]). οἱ γὰρ ἀρχαῖοι τὰ μὲν ἀηδῆ καὶ λυπηρὰ ἀπὸ ψυχροῦ ὀνομάζουσιν· τὰ δὲ ἡδέα καὶ τερπνὰ ἀπὸ τῶν θερμῶν. τὸ οὖν στυγεῖν καὶ φοβεῖσθαι ἀπὸ τῆς Στυγὸς, ἥπερ μυθεύεται ψυχρότατον παρέχειν ὕδωρ. καὶ ὁμοίως ὁ στυγνὸς παρ' αὐτὴν εἴρηται. τὴν δὲ τέρψιν θαλπωρὴν, παρὰ τὸ τέρπεσθαι καὶ ἰαίνεσθαι· καὶ φόβου κρυόεντος [58]). Φιλόξενος ἐν τῷ περὶ Ῥωμαίων διαλέκτου.

Σπάργανον. σπαράσσω σπαράγανον, καὶ συγκοπῇ σπάργανον.

Στεῤῥός. παρὰ τὸ στῆναι, στεῤῥός. τὰ γὰρ εἰς ναι λήγοντα ἀπαρέμφατα ποιεῖ εἰς ρος ὀνόματα ἰσοσύλλαβα, οἷον μιᾶναι μικρὸς, σταθῆναι σταθερός. οὕτω καὶ στῆναι στερὸς, καὶ πλεονασμῷ τοῦ ἑτέρου ρ, στεῤῥὸς, καὶ πλεονασμῷ τοῦ ε, στερεός.

Στρηνιᾷν. παρὰ τὸ στερεῖν καὶ ἀποσπᾷν τὰς ἡνίας. καὶ εἴρηται ἀπὸ μεταφορᾶς τῶν ἀλόγων ζώων· τινὲς δὲ παρὰ τὸ στρηνὲς, τὸ σκληρόν. στρηνὴς δὲ χρόμαδος γενύων ἐγένετο [59]).

Στεροπή. παρὰ τὸ στέρεσθαι τοὺς ὦπας τοῦ βλέπειν. πλεονάζει δὲ τὸ α ἐν τῷ ἀστεροπή.

Σῦς. δύναται δὲ καὶ εἶναι παρὰ τὸ ὕεσθαι. ὕω ὕσω ὕεσθαι, ὅ ἐστι βρέχεσθαι· ἐπεὶ τοῖς ὕδασι τέρπεται, καὶ πλεονασμῷ τοῦ σ. ὡς σῖτος, παρὰ τὸ σείω σειστὸς, καὶ ἀποβολῇ τοῦ σ, καὶ ἐναλλαγῇ τόνου σῖτος, ὡς ἐργαστὴς ἐργατής [60]).

Σκίπων. παρὰ τὸ σκηρίπω, καὶ συγκοπῇ σκήρπω σκίπων [61]).

Σιρμός [62]). σιγμός τις. κατὰ ἀποβολὴν τοῦ γ.

Στρόβιλος. παρὰ τὸ στρέφω στρόφιλος καὶ στρόβιλος. τρία δὲ σημαίνει, ἀνέμου συστροφὴν, ὀρχήσεως εἶδος, καὶ τὸν κοχλίαν.

Σπόνδυλος. οἷον σφόνδυλος. παρὰ τὸ ἐσφίχθαι παρ' ἀλλήλους.

Στέαρ. παρὰ τὴν στάσιν καὶ πῆξιν *).

Σκελετός. ὁ ἀπεξηραμμένος. παρὰ τὸ σκλῆναι, ὅ ἐστι ξηρᾶναι.

Σύριγξ. κατὰ μίμησιν τοῦ ἀποτελουμένου ἤχου. οὕτως Ἡρακλείδης [63]).

Σείριος. ἀπὸ τοῦ σείεσθαι καὶ ὁρμᾶσθαι. ἐπὶ δὲ τοῦ κοινὸς [64]), ἀπὸ τοῦ σεσηρέναι.

Σπάθη. τὸ ὑφαντικὸν ἐργαλεῖον, ἀπὸ τοῦ κατασπᾷν τὴν κρόκην.

---

51) καταπίνομεν scripsi pro vitioso καταπίνομεν.

52) ἢ στόμα ἐπὶ τῶν χεομένων] Ex Etymologico M. p. 660, 25. 26. legendum est: ἢ ὅτι στόμα ἐστὶ τῶν χεομένων. Larcher.

53) δακτύλου] Cum Etymologico M. p. 687, 36. omnino legendum est ἀντίχειρος. Orion ipse in voc. Παλαιστή sic ait: ἀπὸ δὲ τοῦ μικροῦ διϊσταμένων τῶν δακτύλων ἕως τοῦ ἀντίχειρος, λέγεται σπιθαμή. Larcher.

54) ἔστηκεν hoc loco et paulo post scripsi pro ἔστηκεν.

55) παρὰ τὸ κέλευθον] Possit quis emendandum putare παρὰ τὸ κέλευθος. Sed quum δι' ἧς sequatur, praestat παρὰ τὴν κέλευθον.

56) ἢ παρὰ τοῦ σ] Haec nihili sunt. Cum Etymologico M. p. 619, 34. legendum est: πλεονάσαντος τοῦ σ, σκέλευθος, καὶ συγκοπῇ, σκέλος. Larcher. Scilicet librarius, quum scripsisset verba πλεονάσαντος τοῦ σ, omissis verbis σκέλευθος καὶ συγκοπῇ σκέλος, statim perrexit ad sequentia ἢ παρὰ τὸ κατεσκληκέναι, sed animaduerso errore rursus in alium incidit, atque adeo post ἢ παρὰ male aberrauit in τοῦ σ, quae iam in verbis πλεονάσαντος τοῦ σ posuerat.

57) εὑρῆσθαι] Lege εἰρῆσθαι, vt est in Etymologico M. p. 663, 17. Larcher.

58) καὶ φόβου κρυόεντος] Haec suo loco mota, et mutila, sic restituenda sunt ope Etymologici M. p. 663, 22. ὡσαύτως καὶ τὸ, φόβου κρυόεντος, (apud Homerum Iliad. I. 2.) ἀπὸ τοῦ κρύους τοῦ ψυχροῦ. Tum demum sequi debent quae in Orionis Codice praecedunt: τὴν δὲ τέρψιν — καὶ ἰαίνεσθαι. Larcher.

59) στρηνὴς δὲ χρόμαδος γενύων ἐγένετο] Est versus Homeri Iliad. ψ. 688. vbi nunc legitur: δεινὸς δὲ χρόμαδος γενύων γίνετ', ἔῤῥεε δ' ἱδρώς. Larcher.

60) ἐργατής] Ipsius Orionis verba declarant, ἐργάτης scribendum esse.

61) παρὰ τὸ σκηρίπω — σκίπων] Ista sunt mutila. Lege cum Etymologico M. p. 650, 48. παρὰ τὸ σκηρίπτω, κατ' ἀποβολὴν τοῦ τ καὶ τοῦ ρ, καὶ συγκοπῇ τοῦ η, σκίπων. Larcher.

62) Σιρμός] Legendum omnino est Συρμός. Vid. Etymolog. M. p. 646, 15. Larcher.

*) Στέαρ — πῆξιν] Excerpta ex Orione p. 616, 30. Στέαρ. παρὰ τὸ στήσω στέαρ.

63) Eadem reperies in Etymologico M. p. 667, 29 sq. Sed laudatur ibi Herodianus. Fortassis eadem dixere Herodianus et Heraclides.

64) κοινός] Omnino κυνὸς est legendum. Nam, vt ait auctor Etymologici M. p. 644, 26. τοὺς κύνας διαζάσκειν ποιεῖ. Larcher.

Digitized by Google

Σπάδων. παρὰ τὸ σπᾶσθαι τί μέρος αὐτοῦ [65]. οὕτως Ἡρακλείδης.

Σελήνη. παρὰ τὸ σέλας ἀείνεον ἔχειν, ὅ ἐστι νέον. ὅθεν καὶ ἕνος ὁ ἐνιαυτὸς, ὁ ἀεὶ νεάζων. οὕτως Ἡρακλείδης.

Σκότος. ἀπὸ τοῦ σκιάζειν ὠνομᾶσθαι [66]. οἱ δὲ φασὶν ὅτι σκοπός ἐστι. ὅτι δεῖ προσκοπεῖσθαι τὸν προσερχόμενον ἐν αὐτῷ· οὕτως Ἡρακλείδης [67]. ὁ δὲ Ἡρωδιανὸς παρὰ τὸ σκέθειν [68] ἡμᾶς, ὅτι ἐπέχει πολλάκις προϊέναι.

Σκιά. παρὰ τὸ συγκινεῖν καὶ συμπορεύεσθαι τινί. οὕτως Ἡρακλείδης.

Σάρκα. ἐτυμοτέρως λέγουσιν Αἰολεῖς σύρκα, παρὰ τὸ ἀποσύρεσθαι τὸ δέρμα ἀπ' αὐτῆς. οὕτως Ἡρακλείδης.

Σάτυρος. παρὰ τὴν σάθην [69] σάθηρος, ὡς ἅλμη ἀλμυρὸς, καὶ τροπῇ τοῦ ϑ εἰς τ, σάτυρος. καταφερὲς γὰρ τὸ γένος τῶν σατύρων. Θεόκριτος [70]· τό τοι γένος ἢ σατυρίσκων.

Στρεβλός. παρὰ τὸ στρέφω καὶ διαστρέφω.

Συλλήβδην. λήβω, λήψω, λήψομαι παθητικόν. λήβδην καὶ συλλήβδην.

Σαπρός. παρὰ τὸ σήπω, ὡς παρὰ τὸ λέπω λεπρός.

Σκληρός. παρὰ τὸ σκλῶ μονοσύλλαβον, ὅ ἐστι ἀπὸ τοῦ σκέλλω.

Στεῖρα. παρὰ τὸ στῶ, οὗ παράγωγον στείω, στεῖρα, ἡ τοῦ κυῆσαι στάσιν ἔχουσα. οὕτω Φιλόξενος· ὁ δὲ Εὐδαίμων, παρὰ τὸ στέρεσθαι τοῦ τίκτειν.

Σπείρω, παράγωγον τοῦ σπῶ. ἅμα γὰρ τῷ καταβληθῆναι τὴν σπορὰν, σπᾶται ὑπὸ τῆς γῆς τὸ χωρῆσαν εἰς αὐτήν. οὕτω Φιλόξενος. ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ τῶν θηλειῶν, ὅτε δέχονται τὸ σπέρμα.

Στιλπνός. παρὰ τὸ στίλβω, ὡς τέρπω τερπνός.

Σεμνός. παρὰ τὸ σέβω. οὕτω Φιλόξενος ἐν τῷ περὶ μονοσυλλάβων ῥημάτων.

Σόλος [71]. ὁ δίσκος. παρὰ τὸ σῶ, τὸ ὁρμῶ καὶ κινῶ. ἀπὸ δὲ τοῦ σῶ, ὁ μέλλων σώσω, καὶ ῥηματικὸν ὄνομα κατὰ συστολὴν τοῦ ω εἰς ο, σόλος. παρὰ [72] τὸ ὅλον σεύεσθαι, ὡς στρογγύλον. οὕτω Φιλόξενος.

Σαλάμβη [73]. ἡ θυρὶς ἡ ἐν σάλῳ οὖσα, ἢ παρὰ τὸ σέλας βαίνειν δι' αὐτῆς.

Σαλαμβὰς [74]. ἡ δαίμων, παρὰ τὸ ἀεὶ περιφέρεσθαι καὶ ἐν σάλῳ εἶναι· ἢ ὅτι περιέρχεται τὸν Ἄδωνιν θρηνοῦσα. καὶ σηλάζειν [75] Ἀνακρέων [76] ἐπὶ τοῦ θρηνεῖν. σαλεύει γὰρ, καὶ ταράττει τὴν διάνοιαν ἡ τοιαύτη ὀδύνη τοῦ θρήνου.

Συστῆται. εἴρηται ἀπὸ μεταφορᾶς τῶν ἵππων καὶ τῶν ἡμιόνων. ἐπεὶ μετὰ τῶν συνήθων ἵστανται καὶ εὐσταθοῦσιν ἐν ταῖς φάτναις.

Σιλλοί. τιλλοί τινες εἰσί. τίλλειν δὲ τὸ κόπτειν [77], ὡς λέγει Ἀνακρέων [78].

Σωρός. σωρεύω, σωρεὺς [*], καὶ κατὰ συγκοπὴν σωρὸς, ὡς φωλεύω φωλεός.

Σκυθρωπάσαι. πλεονασμῷ τοῦ ρ, σκυθωπάσαι δέ ἐστι, παρὰ τὸ Σκυθικοὺς ἔχειν ὦπας, ὅ ἐστι καταπληκτικούς.

Σφέλας [79]. τὸ ὑποπόδιον. παρὰ τὸ φλᾶσθαι εἰς αὐτὸ τὰ γόνατα, ὅ ἐστι θλᾶσθαι καὶ κάμπτεσθαι ἐν τῷ καθέζεσθαι.

Σφάζω. φῶ ἐστὶ ῥῆμα, δηλοῦν τὸ ἀναιρῶ. οὗ παράγωγον εἰς μι, φημί, ἔνθεν φατός, καὶ ἤϊφατος [80], καὶ τὸ πέφαται, καὶ πεφάσθαι [81], καὶ τούτου τὸ φῶ παράγωγον φάζω. καὶ πλεονασμῷ τοῦ σ, σφάζω.

Στατήρ. παρὰ τὸ ἵστημι, στήσω, στατὴρ, καὶ παρ' ἡμῖν ἐπὶ τοῦ νομίσματος τίθεται.

Σταγών. παρὰ τὸ στῶ ῥῆμα, οὗ παράγωγον στάζω, οἷον οὐ ῥύσιν [82], ἀλλὰ διάστασιν τῆς φορᾶς τοῦ ὑγροῦ λαβούσης.

Στήλη. παρὰ τὸ στῶ ῥῆμα, στήσω, στήλη.

Σιτοδεία. σίτου ἔνδεια, καὶ συγκοπῇ σιτοδεία.

Σκνιπὸς καὶ σκνιφός. ὁ μικρολόγος. παρὰ τοὺς κνίπας, καὶ τὴν τούτων μικρότητα. σκνὶψ δὲ κωνωποειδὲς πτηνόν.

Σίφων. παρὰ τὸν ποιὸν ἦχον ἐν τῷ ἀνενέγκαι ποιεῖν.

Σκαρθμός. παρὰ τὸ σκαίρω, σκαρμὸς, καὶ πλεονασμῷ τοῦ θ, σκαρθμός.

---

65) *σπᾶσθαι τί μέρος αὐτοῦ*] Lege *ἀποσπᾶσθαί τι μέρος αὐτοῦ*, vt est in Etymologico M. p. 655, 30. LARCHER.

66) *ὠνομᾶσθαι*] Legendum est *ὠνόμασται*. Vid. Etymolog. M. p. 652, 29. LARCHER.

67) *Ἡρακλείδης*] In Etymologico M. p. 652, 31, male legitur *Ἡράκλειτος*. LARCHER.

68) *σκέθειν*] Lege *σχέθειν*, vt est in Etymologici M. loco laudato, vbi testis affertur *Ὧρος*. Sed procul dubio legendum est *Ὠρίων*. LARCHER.

69) *τὴν σάθην*] Hoc vocabulo vsus est *Aristophanes* Lysistr. 1119.

ἢν μὴ διδῷ τὴν χεῖρα, τῆς σάθης ἄγε.

Vide ibi notam *Brunckii*. LARCHER.

70) *Θεόκριτος*] Eius verba sic legenda sunt, vt leguntur in *Theocriti* editionibus Idyll. IV. 63.

εὖγ' ὦ 'νθρωπε φιλοῖφα· τό τοι γένος ἢ Σατυρίσκοις
ἐγγύθεν ἢ Πάνεσσι κακοκνάμοισιν ἐρίσδει.

LARCHER.

71) *Σόλος*] In apographo legitur *Σῶλος* per miram oscitantiam librarii. LARCHER.

72) *παρὰ*] Puto *ἢ παρὰ* legendum cum Etymologico M. p. 651, 41. LARCHER.

73) *Σαλάμβη* est *ostium fluminis*. Ad hanc significationem alludit primum etymum. *Lycophron* vers. 98. habet *δισσὰς σαλάμβας*. Sed fortasse *σαλάμβαι* dictae sunt *fores*, [vel potius *fenestrae*. STVRZ.] quod in *σάλῳ* siue perpetuo motu atque agitatione versentur. LARCHER.

74) *Σαλαμβάς*] Fortasse legendum est *Σαλαμβώ*. *Hesychius*: *Σαλαμβώ ἡ Ἀφροδίτη παρὰ Βαβυλωνίοις*. Salambonem dixit *Lampridius*. Vid. *Salmas*. ad Scriptores Hist. Aug. Tom. I. p. 807. et quae ad Etymologicon M. annotaui. LARCHER.

75) *σηλάζειν*] Corrige *σαλαΐζειν*. LARCHER.

76) *Ἀνακρέων*] Vid. *Fischer*. ad *Anacreontis* Fragm CXXV. p. 448.

77) *κόπτειν*] Lege *σκώπτειν* cum Etymologico M. p. 646, 8. ex quo etiam *Σίλλοι* et *σίλλοι* scribendum videtur. LARCHER.

78) *Ἀνακρέων*] Vid. Etymol. M. p. 646, 9. et *Anacreontem* p. 290. ex editione *Barnesii*, qui versum *Anacreontis* pessime interpretatus est; in editione *de Pauw* p. 284. et sequ. LARCHER. Adde *Fischerum* ad *Anacreont*. Fragm. LXVII p. 398.

*) *σωρεὺς*] Manifestum est, *σωρεὸς* esse scribendum.

79) *Σφέλας*] Hac voce vsus est *Apollonius Rhodius* III. 1159.

ἷζε δ' ἐπὶ χθαμαλῷ σφέλαϊ κλιντῆρος ἔνερθε.

LARCHER.

80) *ἤϊφατος*] Legendum fortassis est *ἀρηΐφατος*, quae vox reperitur apud *Homerum*. LARCHER.

81) *πεφάσθαι* pro *πεφᾶσθαι* scribendum putaui.

82) *ῥύσιν*] Sic scriptum reperi in Etymologici M. editione Veneta. *Sylburgius* ibi p. 657, 35. ex coniectura edidit *ῥύμην*. LARCHER.

Digitized by Google

Σκαρδαμύττειν. παρὰ τὸ μύω μύσω, καὶ παράγωγον [83]), ὡς ἀφύω ἀφύσσω. παρὰ τὸ σκαίρειν τὸ μύειν ἐν τῇ συνεχεῖ κινήσει τῶν βλεφαρίδων.

Σκάφος. παρὰ τὸ σκάπτω, δηλοῦν καὶ τὸ κοιλαίνω.

Στραβός. παρὰ τὸ στρέφω, τροπῇ τοῦ ε εἰς α, καὶ τοῦ φ εἰς β. οἷον ὁ διεστραμμένος τοὺς ὀφθαλμούς.

Σήθω. παρὰ τὸ σῶ, ὃ δηλοῖ τὸ σείειν ἐν τῷ κοσκίνῳ. ἀπὸ δὲ τούτου τοῦ σήθειν, Ἡρόδοτος [84]) τοῦ σῶ τὸ τρίτον πρόσωπον τῶν παθητικῶν λέγει σῶσιν, ἀντὶ τοῦ σήθουσιν. ὡς παρὰ τὸ κνῶ, κνήθω, ἀλῶ ἀλήθω, πλῶ, ὅθεν τὸ πλῆμι, καὶ διπλασιασμὸς πίμπλημι, καὶ παράγωγον τοῦ πλῶ πλήθω, οὕτω τοῦ σῶ σήθω.

Στροφάλιγξ. παρὰ τὸ στρέφω εἰς ιξ γίνεται παρώνυμον ἀπὸ τῶν εἰς ος· καὶ ὡς Φοῖνος Φοῖνιξ, λάος λάϊγξ, καὶ πλεονασμῷ τοῦ γ, στρόφιγξ, καὶ πάλιν προσελθόντος τοῦ αλ, στροφάλιγξ [85]).

Σεῖστρον. παρὰ τὸ σείω.

Στήμων. στῶ, στήσω, στήμων, καὶ φιλῶ, φιλήσω, φιλήμων.

Στίζω. παρὰ τὸ στῶ στίζω. τὸ τὸν διακεχυμένον καὶ πεπλανημένον λόγον στῆσαι [86]). ὁ δὲ Φιλόξενος, ἐν τῷ περὶ μονοσυλλάβων ὀνομάτων, στίζειν ἐστὶ [87]) τὸ τὰς ἐν τῇ ἀναγνώσει φορὰς ἐν στάσει ποιεῖν, στίζειν λέγομεν. ἀπὸ τοῦ στίζω στιγμή.

Σταλαγμός. στῶ ἐστὶ ῥῆμα, οὗ παράγωγον στάσσω, οὗ μέλλων στάξω, καὶ ἐπεισελθόντος τοῦ αλ, σταλαγμός. τὸ δὲ στάσσω καὶ αὐτὸ προσλαβὸν τὸ αλ, ἐποίησε τὸ σταλάσσω.

Σύλος [88]). ὡς πλήθω πληθύω, ἄνω ἀνύω, οὕτω καὶ στῶ στύω, στύσω, στύλος. οὕτω καὶ χῶ, χύω, χύσω, χυλός, ὀξυτόνως. τὰ γὰρ ῥηματικὰ ταῦτα ὀνόματα διαφόρως τονίζεται.

Σποδός. παρὰ τὸ σβέω σβέσω, σβοδὸς καὶ σποδός· ἢ ἐκ τοῦ ἐσβεσμένου πυρός.

Στολή. παρὰ τὸ στέλλω στολή.

Σκῆψις. σκέψις ἐστὶ, καὶ τροπῇ τοῦ ε εἰς η, σκῆψις. οἱ γὰρ προφασιζόμενοι σκέπτονται τί εἴπωσι.

Σκῶλον. παρὰ τὸ σκῶ [89]), τὸ ξηραίνω. σκόλος ἐστὶ, καὶ ἐκτάσει τοῦ ο εἰς ω, σκῶλος. Ὅμηρος [90])· ὥστε σκῶλος πυρίκαυστος, ὁ ὑπὸ πυρὸς ἐξηραμμένος. οὕτως Ἡρωδιανὸς ἐν Ἐπιμερισμοῖς.

Σιφλός. πλεονασμῷ τοῦ φ. κυρίως δὲ ὁ σεσινωμένος [91]) τοὺς ἴλλους. κατὰ δὲ [92]) καὶ ἐπὶ ἄλλου μέρους τοῦ σώματος. οὕτως Ἡρωδιανός.

Συρία. παρὰ τὸ σύρεσθαι ὑπὸ τοῦ κατακλυσμοῦ [93]). ἐκ τοῦ ἐναντίου [94]), Ἀσσυρία, παρὰ τὸ μὴ σύρεσθαι [95]) τότε. εἰσὶ δὲ οἱ Πέρσαι. ἐκεῖσε γὰρ οὐκ ἔστι θάλασσα.

Σπόγγος [96]). εἰ μὲν διὰ τοῦ π, παρὰ τὸ σπᾶν τὰ ὑγρά. διὰ δὲ τοῦ φ, παρὰ τὸ σφίγγειν. κατὰ τὰς ἐκθλίψεις. οὕτως Ἡρωδιανός.

Συνημοσύναι. παρὰ τὸν ἥσω μέλλοντα. ἀπὸ τοῦ εἰς ταὐτὸν ἀφεῖναι τὰ τῆς διανοίας. οὕτως Ἡρωδιανὸς ἐν τῇ Ὁμηρικῇ προσῳδίᾳ.

Στηκός. τηκός [97]), οἷον στηκῶος ἐστὶν, ὃν στήκουσιν [98]) εὐχώμενοι.

Στράτα. ἡ ἐστρωμένη ὁδὸς καλεῖται τῇ Λατίνων φωνῇ.

ΑΡΧΗ ΤΟΥ Τ.

Τράπεζα. κατὰ ἀποβολὴν, τουτέστι, τετράπεζα, τέσσαρας πόδας ἔχουσα. αἱ γὰρ τῶν παλαιῶν τράπεζαι τετράγωνοι ἦσαν.

Τέναγος. παρὰ τὸ τέγγω τὸ βρέχω. τέγγος τέναγος, ὁ ὑπόβροχος τόπος.

Τάφρος. πλεονασμῷ τοῦ ρ. παρὰ τὸ ἀφαιρεῖσθαι [99])

---

83) καὶ παράγωγον] Addendum arbitror μύσσω.

84) *Herodotus* l. 200. ἐσβάλλουσι ἐς ὅλμον, καὶ λεήναντες ὑπέροισι, σῶσι διὰ σινδόνος, *in pilam coniiciunt, ac pistillis mitigatos per linteum incerniunt.* Confer ibi notam *Valckenaerii.* LARCHER.

85) Nempe ex στρέφω fit στρόφος, et inde στρόφιξ, vt λάϊξ ex λάος, sed pleonasmo literae γ, στρόφιγξ, λάϊγξ, et alio pleonasmo syllabae αλ, στροφάλιγξ. LARCHER.

86) λόγον στῆσαι est *interpunctionibus orationem distinguere.* LARCHER.

87) στίζειν ἐστὶ] Vel haec delenda sunt, vel quae paulo post sequuntur, στίζειν λέγομεν. Vid. Etymolog. M. p. 660, 57. LARCHER. Equidem deleuerim verba στίζειν ἐστί.

88) Σύλος] Non est vox Graeca. Legendum Στύλος, vt sequentia euincunt. LARCHER.

89) Σκῶλον, παρὰ τὸ σκῶ] Lege Σκῶλος. παρὰ τὸ σκλῶ. Nam σκλῶ est contractum ex σκλέω σκελέω, quod est a verbo σκέλω σκέλλω. LARCHER.

90) *Homeri* verba, ὥστε σκῶλος πυρίκαυστος, extant Iliad. Ν. 564. LARCHER.

91) σεσινωμένος] Ita etiam legitur in *Zonarae* Lexico p. 1643. sed in Etymologico M. p. 648, 56. ἐσινωμένος, apud *Phauorinum* p. 1652, 27. σεσιμωμένος. *Orionis* tamen et *Zonarae* lectio praeferenda est.

92) κατὰ δὲ] Hae voces nullum exhibent sensum. Lege καταχρηστικῶς δὲ, vt est in Etymologico M. p. 648, 57. Eius auctor totam glossam ad verbum descripsit ex *Orione*, vel ex *Herodiano*, quem laudat *Orion.* Caeterum σιφλὸς contractum est ex σίπαλος. Vid. *Ruhnken.* Epist. Crit. II. p. 37. primae editionis, p. 166. edit. secundae. LARCHER.

93) ὑπὸ τοῦ κατακλυσμοῦ] Auctor Etymologici M. p. 143, 3. addit μερικοῦ γενομένου. LARCHER.

94) ἐκ τοῦ ἐναντίου] Mallem ἐκ τοῦ ἐναντίου. Atque sic est in Excerptis p. 616, 32. vbi etiam Ἀσυρία scribitur, rectius quidem, si allatam etymologiam spectamus.

95) παρὰ τὸ μὴ σύρεσθαι] Conf. Etymolog. M. p. 143, 6. LARCHER.

96) Σπόγγος κ. τ. λ.] Totam glossam ad verbum hinc exscriptam esse ab auctore Etymologici M. p. 656, 20 sq. nisi quod *Orion* fontem indicauerit *Herodianum*, notauit *Bastius* ad *Gregorium* de Dialectis p. 878. edit. *Schaefer.* In fine glossae praebent Excerpta p. 616, 34. παρὰ τὸ σφίγγειν τὰς ἐκθλίψεις.

97) Στηκός. τηκός] Legendum est Σηκός. σηκός. LARCHER.

98) ὃν στήκουσιν εὐχώμενοι] Etymologicon Gudianum p. 499, 18. habet πρὸς ὃν στήκουσιν εὐωχούμενοι. Sed tam ibi quam apud *Orionem* legendum est πρὸς ὃν στήκουσιν εὐχόμενοι.

99) παρὰ τὸ ἀφαιρεῖσθαι] Deesse videtur τι, vel χῶμα, vt sit παρὰ τὸ ἀφαιρεῖσθαι τὸ χῶμα. Vid. Etymolog. M. p. 679, 48. vbi legitur παρὰ τὸ ἀφαιρεῖσθαι ἐξ αὐτοῦ τὸ χῶμα. LARCHER. Etymolog. Gud. p. 525, 40. παρὰ τὸ ἀφαιρεῖσθαι ἐξ αὐτῆς τὸ χῶμα. vbi αὐτοῦ reponendum est.

Digitized by Google

ἐν τῷ σκάπτεσθαι, ἄφαρος, ἄφρος, τάφρος. ὁ δὲ Ἡρωδιανὸς ἐν Ἐπιμερισμοῖς φησὶ, παρὰ τὸ τρέπω, τὰ πρὸς οἷον τροπὴν ποιουμένη τῶν πολεμίων[100]), καὶ μεταθέσει τοῦ π̄ εἰς φ̄, τάφρος.

Τέκνον. τέκω, τέκανον, τέκνον.

Τύμπανον. τύπτω, τύπανον, πλεονασμῷ τοῦ μ̄, τύμπανον.

Τήγγανον. τήκω, τήκανον, καὶ μεταθέσει τοῦ κ̄ εἰς γ̄, τήγγανον.

Τριτογένεια. ἤτοι ἡ παρὰ τῷ Τρίγωνι[1]) ποταμῷ γεννηθεῖσα, ἢ ἡ τρεῖς[2]) ποιοῦσα τοὺς ἐν τῷ πολέμῳ. ἢ ἐπειδὴ ἡ αὐτὴ ἐστὶ τῇ σελήνῃ. αὕτη δὲ τριταία οὖσα φανερὰ γίνεται, τουτέστιν ὅτε τρίων δρόμων[3]).

Τρίβον[4]). ὁ τρίπους, ὁ τὴν τριβὴν[5]), ὁ τρεῖς βάσεις ἔχων.

Τάριχος. παρὰ τὸ ἐν τῇ ταριχείᾳ ἰσχναίνεσθαι[6]), ἢ παρὰ τὸν γάῤῥον ἴσχειν καὶ εἰς χ̄ γάῤῥον ἐξιχωρίζεσθαι[7]). οὕτως Ἡρωδιανὸς ἐν τῷ Συμποσίῳ. καὶ ἐστὶ τροπὴ τοῦ γ̄ εἰς τ̄.

Ταινύηκες. ἐπὶ τοῦ ξίφους. τὸ τεταμένην ἔχον τὴν ἀκὴν, τουτέστι ἠκονημένην. ἡ δὲ ἀκὴ παρὰ τὸ εἴκω[8]), ὡς παρὰ τὸ τρίβω τριβή. ἥκειν δὲ καὶ προήκειν, τὸ εἰς ὀξὺ νενευκέναι.

Τροχός. παρὰ τὸ τρέχειν, ὡς παρὰ τὸ δραμεῖν δρόμος.

Τείρεα. παρὰ τὸ τείρειν, ὅ ἐστι δαμάζειν, βλάπτειν. εἰσὶ γὰρ ἀστρόβλητοί τινες. ἢ παρὰ τὸ τέρας, τὸ σημεῖον. σημαντικὰ γὰρ εἰσὶ τινῶν[9]) μελλόντων.

Τηθύς. παρὰ τὴν τιτθὴν καὶ τὴν τήθην. τὰ γὰρ πάντα τρέφει.

Τάφος. θήπω ἐστὶ ῥῆμα. τὸ ταράττω[10]) καὶ ἐκπλήττομαι. ἔνθεν τὸ τέθηπέ τις[11]). ἐστὶν οὖν θήπω· καὶ ῥηματικὸν ὄνομα θάπος, τροπῇ κατ' Ἴωνας τοῦ θ̄ εἰς τ̄, καὶ τοῦ π̄ εἰς φ̄, τάφος. Ἀπολλώνιος ἐν τῷ περὶ Ἐπιῤῥημάτων[12]).

Τάφος. ἔνθα τὰ λείψανα. παρὰ τὸ θῶ τιθῶ, παράγωγον θάπτω, καὶ πάλιν τροπῇ τοῦ θ̄ εἰς τ̄, καὶ τοῦ π̄ εἰς φ̄. περιττὸν γὰρ ἐστὶ τὸ τ̄ ἐν τῷ ῥήματι. Φιλόξενος ἐν τῷ περὶ μονοσυλλάβων ῥημάτων.

Τηλοῦ. παρὰ τὸ τέλος τελοῦ ἐστὶ, καὶ τροπῇ τοῦ ε̄ εἰς η̄, τηλοῦ. τὰ γὰρ ἐπὶ τέλους συντείνοντα μεγεθύνεται. οὕτως Ἀπολλώνιος ἐν τῷ περὶ Ἐπιῤῥημάτων[13]).

Τάλας. παρὰ τὸ ταλλω, καὶ τλῶ κατὰ συγκοπήν.

Τλήμων. τλῶ, τλήσω, τλήμων.

Τρύχειν. τρῶ ἐστὶ ῥῆμα, δηλοῦν τὸ βλάπτειν καὶ κακοῦν, οὗ παράγωγον τρώω. Ὅμηρος[14])· οἶνός σε τρώει μελιηδής. τοῦ τρῶ ἄλλο παράγωγον τρύω, καὶ προσθέσει τοῦ χ̄, τρύχω.

Τρώσω[15]). τρῶ παράγωγον, σημαίνει τὸ κατεργάζεσθαι, καὶ μὴ ἐὰν τινὰ ἂν τρώσῃ τις ὑγρᾶ[16]). οὕτω Φιλόξενος.

Τρῶκται. οὕτω τοὺς Φοίνικας φασίν. Ὅμηρος[17])· δὴ τότε Φοίνιξ ἦλθεν ἀνὴρ, ἀπατήλια εἰδὼς, τρώκτης. ἐκ τοῦ τράω σημαίνοντος τὸ βλάπτω. παράγωγον τράσω, οὗ μέλλων τράξω. ῥηματικὸν ὄνομα, τρώκτης, ὁ ἐπὶ βλάβῃ τισὶν ἐγκαταμίσγων. Φιλόξενος.

Τέρτρον. τρῶ τρᾶς ἐστὶ ῥῆμα, ὅπερ ἐστὶ κατὰ συγκοπὴν τοῦ τείρω. παρὰ δὲ τὸ τείρω τέρτρον, ὡς παρὰ τὸ φέρω φέρτρον, λέγω ἐπὶ τοῦ κοιμῶμαι[18]) λέκτρον.

Τρίζω. παρὰ τὸ τρῶ τρίζω παράγωγον. δηλοῖ δὲ ὀδυνηρὰν τινα φωνὴν[19]). ἔνθ' ὅγε[20]) τοὺς ἐλεεινὰ κατήσθιε τετριγῶτας.

Τανηλεγής. παρὰ τὸ λέγω τὸ κοιμῶμαι, καὶ παρὰ τὸ ταναόν, τανηλεγὴς καὶ τανηλεγής, ὁ αἰώνιον κοίμημα καὶ μακροχρόνιον ἔχων.

Τέρσεσθαι. παρὰ τὸν θέρσω, μέλλοντα Αἰολικὸν, καὶ τροπῇ τοῦ θ̄ εἰς τ̄.

Τιθήνη. παρὰ τὸν τιτθὸν, ἀποβολῇ τοῦ ἑνὸς τ̄. οὕτω Φιλόξενος ἐν τῷ περὶ μονοσυλλάβων ῥημάτων. ὁ αὐτὸς καὶ περὶ[21]) τὸν θήσω μέλλοντα, δηλοῦντα τὸ τρέφω, ὄνομα θήνη, καὶ διπλασιασμὸς τιθήνη.

---

100) *τὰ πρὸς οἷον τροπὴν ποιουμένη τῶν πολεμίων*] Haec me non intelligere lubens fateor. Conieceram τὸ *προσιόντων τροπὴν ποιῶ τῶν πολεμίων*. Ea vero coniectura non mihi satisfacit.

1) *Τρίγωνι*] Legendum est *Τρίτωνι*. Vide Etymologicon M. p. 696, 41. et *Herodotum* IV. 188. et 189. Larcher.

2) *τρεῖς*] Lege *τρεῖν*. Etymolog. M. p. 696, 48. *τινὲς δὲ λέγουσι παρὰ τὸ τρεῖν τὸ φοβεῖν. ἡ φόβου ἐμποιητική.* *Eustathius* ad *Homer.* Iliad. *Δ.* p. 504, 25. *ἢ τὸ τρεῖν ἐγγεννῶσα τοῖς ἐχθροῖς.* Larcher.

3) *ὅτε τρίων δρόμων*] Aliquid deest. Larcher. Fortassis legi possit *ὅτε τριῶν ἡμερῶν ἐστι.*

4) *Τρίβον*] Legendum est *τρίπος*. Vid. *Hesych.* Larcher.

5) *ὁ τὴν τριβὴν*] Quid haec sibi velint, non capio. Vide, num tibi placeat *ὁ ἐμπυριβήτης*. Conf. *Schol. Homer.* ad Iliad. *I.* 123.

6) *ἰσχναίνεσθαι*] Hinc corrigendum est Etymologicon M. p. 677, 47. in quo legitur *ἴσχεσθαι*. Larcher.

7) *παρὰ τὸν γάῤῥον ἴσχειν καὶ εἰς χ̄ γάῤῥον ἐξιχωρίζεσθαι*] Haec corrupta mihi videntur. Larcher. Etymolog. M. p. 677, 47. et ex eo *Phauorinus*: *παρὰ τὸ γάρον ἴσχειν, τροπῇ τοῦ γ̄ εἰς τ̄.* Fortassis igitur ita corrigi possit locus *Orionis*: *παρὰ τὸ γάῤῥον* (vel *γάρον*) *ἴσχειν, ἢ καὶ γάῤῥον ἐξιχωρίζεσθαι.*

8) *εἴκω*] Legendum est *ἥκω*. Nam *ἀκὴ* et *ἠκὴ* est *ἀξύτης τοῦ σιδήρου*. Hac data occasione mendam eluam ex *Archilochi* loco, qui in Etymologico M. p. 43, 23. legitur: *Ἴστη κατ' ἠκὴν κύματος κνανέον.* Corrige ex pag. 384, 18. eiusdem Etymologici: *Ἴστη κατ' ἄκην κύματός τε κἀνέμου.* Larcher.

9) *τινῶν μελλόντων*] Fortassis hoc verius est, quam quod in Etymologico M. p. 685, 8. est, *τῶν μελλόντων*.

10) *ταράττω*] Mallem *ταράττομαι*, quia *ἐκπλήττομαι* sequitur.

11) *τέθηπέ τις*] Fortasse legendum est *τέθηπά τε*, quod extat apud *Homerum* Odyss. *Z.* 168. Larcher.

12) *Ἀπολλώνιος ἐν τῷ περὶ Ἐπιῤῥημάτων*] Locum reperire non potui.

13) *περὶ Ἐπιῤῥημάτων*] Locus est in *Bekkeri* Anecdot. Graec. Vol. II. p. 588, 1. Sed confer etiam p. 607, 2 5.

14) *Ὅμηρος*] Locus est Odyss. *Φ.* 293. Larcher.

15) *Τρώσω* est futurum verbi *τιτρώσκω*, quod non conuenit cum sequentibus. Lege igitur *Τρώγω*, et vide Etymologicon M. p. 698, 40. vnde etiam *τοῦ τρῶ παράγωγον* legendum est. Larcher.

16) *ἐὰν τινὰ ἂν τρώσῃ τις ὑγρᾶ*] Cum Etymologico M. l. l. corrige: *ἐὰν, ἅτινα ἂν τρώγῃ τις, ὑγρά.* Larcher.

17) *Ὅμηρος*] Locus est Odyss. *Ξ.* 288. Larcher.

18) *λέγω ἐπὶ τοῦ κοιμῶμαι*] Etiam paulo post, in voc. *Τανηλεγής*, verbo *λέγω* tribuitur notio cubandi ac dormiendi. Sed rectius *λέχω* et *λέχομαι* hanc vim habere dicitur.

19) Post *φωνὴν* adde *ἀφεῖναι* cum Etymologico M. p. 694, 17. Larcher.

20) *Ἔνθ' ὅγε κ. τ. λ.*] Est versus *Homeri* Iliad. *B.* 314. Larcher.

21) *περὶ τὸν θήσω*] Lege *παρὰ τὸν θήσω*.

Digitized by Google

Τυρός. τροπῇ τοῦ η εἰς υ. παρὰ τὸ τηρεῖσθαι. γάλα γὰρ τηρούμενον ἐστὶν ὁ τυρός. ὡς παρὰ τὴν ἅλμην ἁλμυρὸς, οὕτω καὶ τυρός. Βησαντῖνος [22]) ἐν τῷ περὶ Χρηστομαθίας [23]).

Τριτογένεια. ἡ Ἀθηνᾶ. κατὰ Δημόκριτον, Φρόνησις νομίζεται. γίνεται δὲ ἐκ τοῦ Φρονεῖν τρία ταῦτα· βουλεύεσθαι καλῶς, λέγειν ἀναμαρτήτως, καὶ πράττειν ἃ δεῖ.

Τροπός. ὁ τροπωτὴρ τῆς κώπης. παρὰ τὸ τρέπειν ὅπου δεῖ τὴν κώπην. τρέπω τροπὸς, ὡς πέμπω πομπός.

Τρίβακος [24]). τριβὴ τρίβαξ παρώνυμον, καὶ ἡ γενικὴ εὐθεῖα γίνεται πολλάκις, ὡς Φύλαξ Φύλακος, καὶ ὁ Φύλακος, ῥόος ῥόαξ, καὶ μεταθέσει τοῦ ο εἰς υ, ῥύαξ. οὕτω Φιλόξενος ἐν τῷ περὶ τῆς Ἰάδος διαλέκτου.

Τρήρων. παρὰ τὸ τρέω τὸ Φοβοῦμαι. τρεερὸς ὄνομα ῥηματικὸν, τῶν δύο εε εἰς η συναλοιΦῇ [25]), ἐξ οὗ καὶ τρήρων.

Τόξον. τάζω ἐστὶ ῥῆμα, ἀφ' οὗ ἔταγον δεύτερος ἀόριστος, καὶ ταγὼν μετοχὴ, καὶ κατὰ ἀναδιπλασιασμὸν τεταγὼν, ὡς πείθω πιθὼν καὶ πεπιθών. παρὰ τὸ τάζω οὖν, καὶ τάξω μέλλων, τάξον ἐστὶ, καὶ τόξον τροπῇ τοῦ α εἰς ο. Φιλόξενος ἐν τῷ περὶ Ἰάδος διαλέκτου.

Τραπέουσι [26]). δηλοῖ τὸ πατοῦσι. παρὰ τὸ τρέπω [27]).

Τρώγλη. παρὰ τὸ τρώγω τρώξω τρώγλη, τὸ διαβεβρωμένον καὶ τετρυπημένον μέρος τοῦ τοίχου.

ΤρυΦή. παρὰ τὸ θρύπτω καὶ θρυπτή, τρυΦή.

Τάλαντον. τὸ ζυγόν. παρὰ τὸ ταίνω ῥῆμα, ὅπερ κατὰ ἀναδιπλασιασμὸν τιταίνω. ὡς Φαίνω Φαντὸς καὶ ἄΦαντος, καὶ χραίνω χραντὸς καὶ ἄχραντος, οὕτω τιταίνω ταντὸς, καὶ οὐδέτερον ταντὸν, καὶ πλεονασμῷ τοῦ αλ, τάλαντον, καὶ σύνθετον ἀτάλαντον.

Τηλία. ἡ περιΦέρεια [28]) τοῦ κοσκίνου. παρὰ τὸ σῶ, δηλοῦν τὸ σείω, καὶ σήθω, καὶ κινῶ. σῶ, σήθω, ἀφ' οὗ ὄνομα σηλία καὶ τηλία. τρέψαντες γὰρ οἱ Ἀττικοὶ τὸ σ εἰς τ, τὸ σῶ θῶ λέγουσι. καὶ ἐν συνθέσει διάττω [29]), καὶ πλεονασμῷ τοῦ τ, τῶ, διάω, διάττω.

Ταινία. παρὰ τὸ ταίνω ῥῆμα. διπλασιασμὸς γίνεται τιταίνω.

Τελαμών. παρὰ τὸ ταλάσσω, ταλαμὼν, καὶ τροπῇ τοῦ α εἰς ε, τελαμών.

Τέρεν κατὰ δάκρυον εἶβει [30]). παρὰ τὸ θέρω θέρεν καὶ τέρεν, τὸ ὡς τεθρασμένον [31]) καὶ διακεχυμένον.

Τέρεν. τὸ ἁπαλόν. παρὰ τὸ διακεχῦσθαι [32]), ἢ μὴ τραχὺ εἶναι. οἷον τὸ ὑπὸ θερμότητος δυνάμενον διαχυθῆναι· ὅπερ ἐστὶ ἁπαλόν. οὕτως Ἡρωδιανὸς ἐν Ἐπιμερισμοῖς.

Τροία. βιωτικὸν ὄνομα [33]), Τρὼς Τρωὸς, Τρωΐα καὶ Τροία.

Τρύγοιπος. ὁ ὑλιστήρ. παρὰ τὸ ἰποῦσθαι τὴν τρύγα.

Τέκμωρ. παρὰ τὸ τέκω τέκμωρ [34]), καὶ πλεονασμῷ τοῦ μ, τέκμωρ.

ΑΡΧΗ ΤΟΥ Υ.

Ὑπεροπλία. ἀπὸ τῶν ὑπὲρ ἑαυτοὺς ὅπλα Φερόντων.

Ὑψηχέες ἵπποι. παρὰ τὸ εἰς ψύχος [35]) ἔχειν τὴν ἀναΦορὰν, καὶ παρὰ τὸ εἰς ὕψος ἀναΦέρειν τὸν ἦχον τῶν ποδῶν.

Ὑσμίνη. συγκοπῇ, καὶ πλεονασμῷ τοῦ σ, ὑπομείνη τις οὖσα. χρεία γὰρ ὑπομονῆς τοῖς μαχομένοις. πλεονασμὸς ἐστὶ τοῦ δ *), δυσμίνη καὶ ὑσμίνη, ὡς διωκὴ καὶ ἰωκή.

ὙπερΦίαλος. τροπῇ τοῦ υ εἰς ι [36]), ὑπερΦίαλός τις ὢν, καὶ ὑπερΦυής.

Ὑπέραι. αἱ ἐξηρτημέναι τοῦ κέρατος [37]) σχοῖνοι, παρὰ τὸ ὑπεράνω εἶναι.

Ὑβόν. κυΦὸν ἐστὶν ἀποβολῇ τοῦ κ, καὶ τροπῇ τοῦ Φ εἰς β.

Ὑστέρα. ἀπὸ τῆς μήτρας [38]), ἤτοι ἀπὸ τῆς θέσεως, ἢ ἀπὸ τοῦ μὴ εὐθὺς, ἀλλ' ὕστερον ἀποδιδόναι τὰς ἰδίας ἐνεργείας.

---

22) *Βησαντῖνος*] Intelligitur *Helladius*, de quo supra dixi ad vocem *Ποτνιᾶσθαι*. LARCHER.

23) *Χρηστομαθίας*] Scribe *Χρηστομαθείας*.

24) *Τρίβακος*] Vide notam *Brunckii* ad *Sophocl.* Antig. 974. LARCHER. Conf. quos laudaui in libro de Dialecto Macedon. et Alexandrina p. 53.

25) *τῶν δύο εε εἰς η συναλοιφῇ*] Addendum est *τρηρὸς*, vel, si antea *τρέερος* pro *τρεερὸς* malis, *τρῆρος*.

26) *Τραπέουσι*] *Homerus* Odyss. *H.* 125. *ἄλλας (σταφυλὰς) δὲ τραπέουσι*. LARCHER.

27) *παρὰ τὸ τρέπω*] Etymologicon M. p. 692. 51. *παρὰ τὸ τρέφω τὸ πήσσω. ἐκ τοῦ θρέψαι*. Melius *Eustath.* ad *Homeri* Odyss. p. 1574. 3. *γίνεται δὲ παρὰ τὸ τρέπειν ἡ λέξις, ἐπεὶ πατουμένη τρέπεται εἰς ἄλλο τι ἡ σταφυλή. εἰς οἶνον γὰρ τρεπομένη ἀπὸ πηκτοῦ εἰς ῥυτόν*. LARCHER.

28) *ἡ περιφέρεια κ. τ. λ.*] In Etymologico M. p. 686, 2. haec *Oro* tribuuntur. Laudari debebat *Orion*. LARCHER.

29) *ἐν συνθέσει διάττω κ. τ. λ.*] Lege *ἐν συνθέσει τῆς διὰ, διάττω, πλεονασμῷ τοῦ τ*, sed caetera dele. Vid. Etymolog. M. p. 686, 5. LARCHER.

30) *Τέρεν κατὰ δάκρυον εἶβει*] Sunt verba *Homeri* Iliad. *T.* 323. LARCHER.

31) *ὡς τεθρασμένον*] Cum Etymologico M. p. 682, 37. lege *ὥσπερ* (vel *ὡς*) *τεθερμασμένον*. LARCHER.

32) *διακεχῦσθαι*] Lege *διακεχύσθαι*. LARCHER.

33) *βιωτικὸν ὄνομα*] Corrige *Βοιωτικὸν ὄνομα*. LARCHER.

34) *παρὰ τὸ τέκω τέκμωρ*] Pro hoc vltimo legendum est *τέκωρ*, vt euincunt sequentia. Optime Etymolog. M. p. 680, 14. *ἀπὸ τοῦ τέκω τέκωρ, καὶ τέκμωρ, πλεονασμῷ τοῦ μ*. LARCHER.

35) *εἰς ψύχος*] Lege *εἰς ὕψος*. LARCHER.

*) *πλεονασμὸς ἐστὶ τοῦ δ*] Ante haec verba fortassis inseri debet: *ἢ παρὰ τὸ δυσμενής τις εἶναι*. LARCHER. Conf. Etymolog. Gud. p. 545, 38.

36) *τροπῇ τοῦ υ εἰς ι*] His fortasse praemittendum est *ὑπερφύαλος*. LARCHER. Mihi totus locus ita refingendus videbatur: *Ὑπερφίαλος· ὑπερφίαλός τις ὢν, καὶ ὑπερφυής· τροπῇ τοῦ υ εἰς ι, ὑπερφίαλος*.

37) *τοῦ κέρατος*] Adde *τοῦ ἱστοῦ* cum Etymologico M. p. 705, 10. LARCHER.

58) *ἀπὸ τῆς μήτρας*] Lege *ἐπὶ τῆς μήτρας*, vt habet Etymolog. M. p. 712, 23. LARCHER.

Digitized by Google

Ὑπήνη *). αἱ ὑποκάτω τοῦ γενείου τρίχες, ἀπὸ τοῦ ὑπεῖναι καὶ ὑποκεῖσθαι τῷ γενείῳ. οἱ δὲ παρὰ τὸ ἵημι, οὗ μέλλων ἥσω, ἥνη καὶ ὑπήνη, παρὰ τὴν ἕσιν τῶν τριχῶν. οὕτω Φιλόξενος.

Ὑπώπια. τὰ ὑπὸ τοὺς ὦπας, ὅ ἐστι τοὺς ὀφθαλμοὺς πελιώματα [39]).

Ὑπερώα. ὁ οὐρανίσκος. Ὅμηρος [40])· χείλεα μέν τ' ἐδίηνʼ, ὑπερώην δ' οὐκ ἐδίηνε. παρὰ τὸ ὑπ' αὐτὴν ὁρμᾶσθαι τὴν τροφήν· ἐρωὴ γὰρ ἡ ὁρμή. ἢ μετενήνεκται ἀπὸ τῶν ὑπερῴων οἰκοδομημάτων καὶ μετεωρισμένων ὑπὲρ τὴν ἔραν, τουτέστι τὴν γῆν. ἡ αὐτὴ δὲ ἐτυμολογία καὶ ἐπὶ τοῦ ὑπερῴου.

Ὕστερος. συγκοπῇ τῆς $\overline{\pi\eta}$ συλλαβῆς, καὶ πλεονασμῷ τοῦ $\bar{\sigma}$ [41]). ὡς γὰρ πρὸ πρότερος, καὶ [42]) ὑπὸ ὑπότερος, καὶ ὕστερος. ὑπὸ ἑνὸς γὰρ ἑτέρου λέγεταί τις ὕστερος [43]), ὥστε πλεονασμὸν εἶναι τοῦ $\bar{\sigma}$.

Ὕσπληξ. ὑπόπληξ. συγκοπῇ καὶ πλεονασμῷ τοῦ $\bar{\sigma}$, ὑπόσπληξ καὶ ὕσπληξ. οἱ δέ τινες παρὰ τὴν ἕσιν καὶ πλῆξιν ἕσπληξ καὶ ὕσπληξ, ἀντίθεσις τοῦ $\bar{\epsilon}$ εἰς $\bar{\upsilon}$, ἀπὸ τοῦ ὑποπλήσσειν τὴν σπάρτον ἀφιεμένην ὑπὸ τῶν δρομέων.

Ὑπερώσιος. ἔκτασις τοῦ $\bar{o}$ εἰς $\bar{\omega}$, παρὰ τὸ ὅσιον.

Ὕμνος. οἷον ὑπόμονός τις ὤν, καθὸ εἰς ὑπομονὴν καὶ μνήμην ἄγει τὰς τῶν ἐπαινουμένων πράξεις· κεχώρισται δὲ τῶν ἐγκωμίων καὶ τῶν προσῳδιῶν, καὶ παιάνων [44]), οὐχ ὡς κἀκείνων μὴ ὄντων ὕμνων, ἀλλ' ὡς γένος ἀπὸ εἴδους. πάντα γὰρ εἰς τοὺς ὑπερέχοντας γραφόμενα, ὕμνους ἀποφαινόμεθα· καὶ ἐπιλέγομεν τὸ εἶδος τῷ γένει, ὕμνος προσῳδιῶν, ὕμνος ἐγκωμίου, ὕμνος παιᾶνος. σημαίνει δὲ τοῖς ἐν ὑπεροχαῖς [45]) τὰ γενικὰ καὶ τὰ ἰδικὰ [46]), καὶ τὰ κύρια ὀνόματα· ὥστε μὴ προστιθεμένου τοῦ εἰδικοῦ, ἀπὸ τοῦ γενικοῦ νοεῖσθαι τὸ ἰδικὸν, ὡς ἐπὶ Ὁμήρου· ποιητὴν γὰρ αὐτὸν ἰδικῶς λέγομεν καὶ θεῖον. ὅταν λέγομεν [47]) ἰδίως, τὸν ὑπερέχοντα νοοῦμεν ἐκ τοῦ κοινοῦ, διὰ τὴν ὑπεροχήν· οὕτω καὶ ὕμνον ἰδίως λέγομεν διὰ τὴν σεμνότητα, καὶ περὶ τῶν ἄλλων, ὕμνων ὄντων. κεχώρισται δὲ τῶν προσῳδιῶν, καὶ κατὰ τοῦτο ἐστὶ [48]) τὰ μὲν προσῴδια [49]), καθὰ καὶ κέκληται, προϊόντες [50]) ναοῖς ἢ βωμοῖς πρὸς αὐλὸν ᾖδον· τὸν δὲ ὕμνον πρὸς κιθάραν. οὕτω Δίδυμος ἐν τῷ περὶ Λυρικῶν ποιητῶν.

